Ἕλληνας ὁρμῆσαι μετὰ τῆς ἀνάγκης πρὸς τὸν κίνδυνον.
Greeks to-rush along-with the necessity toward the danger

IV · SALAMIS

Xerxes watches from a golden seat on high ground, with secretaries to record the battle. Before it three Persian captives are sacrificed to Dionysus Eater of Raw Flesh at the seer's demand. Themistocles waits for the wind from the sea; Ariamenes, boarding their ship, is speared into the sea by Ameinias and Socles, a light shines from Eleusis, phantoms seem to stretch out their hands from Aegina, and the Greeks rout the crowded enemy by evening. After the victory Themistocles proposes to break the bridge, but Aristides dissuades him, and the eunuch Arnaces is sent to hurry Xerxes home.

Ἅμα δ' ἡμέρᾳ Ξέρξης μὲν ἄνω καθῆστο τὸν στόλον 13
together-with and day Xerxes indeed above sat the fleet
ἐποπτεύων καὶ τὴν παράταξιν, ὡς μὲν Φανόδημός φησιν,
overlooking and the battle-line as indeed Phanodemus says
ὑπὲρ τὸ Ἡράκλειον, ᾗ βραχεῖ πόρῳ διείργεται τῆς
above — Heracleum where by-a-narrow strait is-separated —
Ἀττικῆς ἡ νῆσος, ὡς δ' Ἀκεστόδωρος, ἐν μεθορίῳ τῆς
from-Attica the island as and Acestodorus on the-border —
Μεγαρίδος ὑπὲρ τῶν καλουμένων Κεράτων, χρυσοῦν δίφρον
of-Megarid above the called Horns golden a-throne
θέμενος καὶ γραμματεῖς πολλοὺς παραστησάμενος, ὧν
having-set and secretaries many having-stationed-beside-him whose
ἔργον ἦν ἀπογράφεσθαι τὰ κατὰ τὴν μάχην πραττόμενα.
task was to-record the in the battle things-done

Θεμιστοκλεῖ δὲ παρὰ τὴν ναυαρχίδα τριήρη σφαγιαζομένῳ
to-Themistocles and beside the flagship trireme sacrificing
τρεῖς προσήχθησαν αἰχμάλωτοι, κάλλιστοι μὲν ἰδέσθαι τὴν
three were-brought captives most-beautiful indeed to-see the
ὄψιν, ἐσθῆσι δὲ καὶ χρυσῷ κεκοσμημένοι διαπρεπῶς.
appearance in-clothing and and gold adorned conspicuously
ἐλέγοντο δὲ Σανδαύκης παῖδες εἶναι τῆς βασιλέως
were-said and of-Sandauce sons to-be the of-the-king
ἀδελφῆς καὶ Ἀρταΰκτου. τούτους ἰδὼν Εὐφραντίδης ὁ
sister and of-Artayctes these having-seen Euphrantides the
μάντις, ὡς ἅμα μὲν ἀνέλαμψεν ἐκ τῶν ἱερῶν μέγα
seer as at-once indeed blazed-up from the victims great
καὶ περιφανὲς πῦρ, ἅμα δὲ πτармὸς ἐκ δεξιῶν ἐσήμηνε,
and conspicuous fire at-once and a-sneeze from the-right gave-a-sign
τὸν Θεμιστοκλέα δεξιωσάμενος ἐκέλευσε τῶν νεανίσκων
— Themistocles having-clasped-the-hand ordered the young-men
κατάρξασθαι καὶ καθιερεῦσαι πάντας ὠμηστῇ Διονύσῳ
to-consecrate and to-sacrifice all to-raw-eating Dionysus
προσευξάμενον· οὕτω γὰρ ἅμα σωτηρίαν τε καὶ νίκην
having-prayed so for at-once safety both and victory
ἔσεσθαι τοῖς Ἕλλησιν. ἐκπлαγέντος δὲ τοῦ Θεμιστοκλέους
would-be for-the Greeks being-panic-struck and — Themistocles
ὡς μέγα τὸ μάντευμα καὶ δεινόν, οἷον εἴωθεν ἐν
as great the prophecy and terrible as is-usual in
μεγάλοις ἀγῶσι καὶ πράγμασι χαλεποῖς, μᾶλλον ἐκ τῶν
great contests and affairs difficult rather from the
παραλόγων ἢ τῶν εὐλόγων τὴν σωτηρίαν ἐλπίζοντες οἱ
unreasonable than the reasonable the safety hoping the
πολλοὶ τὸν θεὸν ἅμα κοινῇ κατεκαλοῦντο φωνῇ καὶ
many the god at-once in-common invoked with-voice and
τοὺς αἰχμαλώτους τῷ βωμῷ προσαγαγόντες ἠνάγκασαν,
the captives to-the altar having-led compelled

ὡς ὁ μάντις ἐκέλευσε, τὴν θυσίαν συντελεσθῆναι. ταῦτα
as the seer ordered the sacrifice to-be-completed these-things
μὲν οὖν ἀνὴρ φιλόσοφος καὶ γραμμάτων οὐκ ἄπειρος
indeed then a-man philosophic and of-letters not inexperienced
ἱστορικῶν Φανίας ὁ Λέσβιος εἴρηκε.
historical Phanias the Lesbian has-said
Περὶ δὲ τοῦ πλήθους τῶν βαρβαρικῶν νεῶν Αἰσχύλος ὁ 14
about and the number of-the barbarian ships Aeschylus the
ποιητὴς ὡς ἂν εἰδὼς καὶ διαβεβαιούμενος ἐν τραγῳδίᾳ
poet as — knowing and affirming-positively in tragedy
Πέρσαις λέγει ταῦτα·
Persians says these-things

Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν
to-Xerxes and also for I-know a-thousand indeed was
ὧν ἦγε πλῆθος· αἱ δ' ὑπέρκομποι τάχει
of-which he-led number the and boastful in-speed
ἑκατὸν δὶς ἦσαν ἑπτά θ'· ὧδ' ἔχει λόγος.
a-hundred twice were seven and thus holds account

τῶν δ' Ἀττικῶν ἑκατὸν ὀγδοήκοντα τὸ πλῆθος οὐσῶν
of-the and Attic a-hundred eighty the number being
ἑκάστη τοὺς ἀπὸ τοῦ καταστρώματος μαχομένους
each the from the deck fighting
ὀκτωκαίδεκα εἶχεν, ὧν τοξόται τέσσαρες ἦσαν, οἱ
eighteen had of-whom archers four were the
λοιποὶ δ' ὁπλῖται.
rest and hoplites
Δοκεῖ δ' οὐκ ἧττον εὖ τὸν καιρὸν ὁ Θεμιστοκλῆς ἢ τὸν
seems and not less well the moment — Themistocles than the
τόπον συνιδὼν καὶ φυλάξας μὴ πρότερον ἀντιπρῴρους
place having-observed and having-watched not earlier prow-on

καταστῆσαι ταῖς βαρβαρικαῖς τὰς τριήρεις, ἢ τὴν
to-set against-the barbarian the triremes than the
εἰωθυῖαν ὥραν παραγενέσθαι, τὸ πνεῦμα λαμπρὸν ἐκ
customary hour to-have-come the wind fresh from
πελάγους ἀεὶ καὶ κῦμα διὰ τῶν στενῶν κατάγουσαν·
sea always and a-swell through the narrows bringing-down
ὃ τὰς μὲν Ἑλληνικὰς οὐκ ἔβλαπτε ναῦς ἁλιτενεῖς οὔσας
which the indeed Greek not harmed ships sea-level being
καὶ ταπεινοτέρας, τὰς δὲ βαρβαρικὰς ταῖς τε πρύμναις
and lower the but barbarian with-the both sterns
ἀνεστώσας καὶ τοῖς καταστρώμασιν ὑψορόφους καὶ βαρείας
raised and with-the decks high-roofed and heavy
ἐπιφερομένας ἔσφαλλε προσπῖπτον καὶ παρεδίδου
bearing-on it-threw-off-balance falling-upon and delivered
πλαγίας τοῖς Ἕλλησιν ὀξέως προσφερομένοις καὶ τῷ
broadside to-the Greeks sharply bearing-on and —
Θεμιστοκλεῖ προσέχουσιν, ὡς ὁρῶντι μάλιστα τὸ συμφέρον,
to-Themistocles attending as seeing most the advantage
καὶ ὅτι κατ᾽ ἐκεῖνον ὁ Ξέρξου ναύαρχος Ἀριαμένης ναῦν
and because against him the of-Xerxes admiral Ariamenes a-ship
ἔχων μεγάλην ὥσπερ ἀπὸ τείχους ἐτόξευε καὶ ἠκόντιζεν,
having great as from a-wall shot-arrows and hurled-javelins
ἀνὴρ ἀγαθὸς ὢν καὶ τῶν βασιλέως ἀδελφῶν πολὺ
a-man good being and of-the of-the-king brothers by-far
κράτιστός τε καὶ δικαιότατος. τοῦτον μὲν οὖν Ἀμεινίας
strongest both and most-just this-man indeed then Ameinias
ὁ Δεκελεὺς καὶ Σωκλῆς ὁ Παιανιεὺς ὁμοῦ πλέοντες, ὡς
the Decelean and Socles the Paeanian together sailing as
αἱ νῆες ἀντίπρῳροι προσπεσοῦσαι καὶ συνερείσασαι τοῖς
the ships prow-on having-collided and having-rammed with-the
χαλκώμασιν ἐνεσχέθησαν, ἐπιβαίνοντα τῆς αὐτῶν τριήρους
bronze-beaks were-caught-fast boarding the their trireme

ὑποστάντες καὶ τοῖς δόρασι τύπτοντες εἰς τὴν θάλασσαν
having-withstood and with-the spears striking into the sea
ἐξέβαλον· καὶ τὸ σῶμα μετ᾽ ἄλλων διαφερόμενον ναυαγίων
threw-out and the body with other carried-about wreckage
Ἀρτεμισία γνωρίσασα πρὸς Ξέρξην ἀνήνεγκεν.
Artemisia having-recognized to Xerxes brought-up
Ἐν δὲ τούτῳ τοῦ ἀγῶνος ὄντος φῶς μὲν ἐκλάμψαι μέγα
in and this the contest being a-light indeed to-have-shone great
λέγουσιν Ἐλευσινόθεν, ἦχον δὲ καὶ φωνὴν τὸ Θριάσιον
they-say from-Eleusis echo and also voice the Thriasian
κατέχειν πεδίον ἄχρι θαλάττης, ὡς ἀνθρώπων ὁμοῦ πολλῶν
to-fill plain as-far-as the-sea as of-men together many
τὸν μυστικὸν ἐξαγόντων Ἴακχον. ἐκ δὲ τοῦ πλήθους
the mystic leading-out Iacchus from and the multitude
τῶν φθεγγομένων κατὰ μικρὸν ἀπὸ γῆς ἀναφερόμενον
of-those uttering by little from earth rising
νέφος ἔδοξεν αὖθις ὑπονοστεῖν καὶ κατασκήπτειν εἰς τὰς
a-cloud seemed again to-sink-back and to-swoop-down upon the
τριήρεις. ἕτεροι δὲ φάσματα καὶ εἴδωλα καθορᾶν ἔδοξαν
triremes others and apparitions and phantoms to-see seemed
ἐνόπλων ἀνδρῶν ἀπ᾽ Αἰγίνης τὰς χεῖρας ἀνεχόντων πρὸ
of-armed men from Aegina the hands holding-up before
τῶν Ἑλληνικῶν τριηρῶν· οὓς εἴκαζον Αἰακίδας εἶναι
the Greek triremes whom they-conjectured Aeacidae to-be
παρακεκλημένους εὐχαῖς πρὸ τῆς μάχης ἐπὶ τὴν βοήθειαν.
having-been-summoned by-prayers before the battle to the help
Πρῶτος μὲν οὖν λαμβάνει ναῦν Λυκομήδης, ἀνὴρ
first indeed then takes a-ship Lycomedes a-man
Ἀθηναῖος τριηραρχῶν, ἧς τὰ παράσημα περικόψας
Athenian commanding-a-trireme whose the figureheads having-cut-off
ἀνέθηκεν Ἀπόλλωνι δαφνηφόρῳ Φλυῆσιν. οἱ δ᾽ ἄλλοι
he-dedicated to-Apollo laurel-bearer at-Phlya the and others

τοῖς βαρβάροις ἐξισούμενοι τὸ πλῆθος ἐν στενῷ
to-the barbarians equaling-themselves-in the number in narrow-space
κατὰ μέρος προσφερομένους καὶ περιπίπτοντας ἀλλήλοις
by part bearing-on and falling-foul of-one-another
ἐτρέψαντο, μέχρι δείλης ἀντισχόντας, ὡς εἴρηκε Σιμωνίδης,
routed until evening having-held-out as has-said Simonides
τὴν καλὴν ἐκείνην καὶ περιβόητον ἀράμενοι νίκην, ἧς
the fair that and famous having-won victory than-which
οὔθ' Ἕλλησιν οὔτε βαρβάροις ἐνάλιον ἔργον εἴργασται
neither by-Greeks nor by-barbarians at-sea deed has-been-done
λαμπρότερον, ἀνδρείᾳ μὲν καὶ προθυμίᾳ κοινῇ τῶν
more-brilliant by-courage indeed and zeal common of-those
ναυμαχησάντων, γνώμῃ δὲ καὶ δεινότητι τῇ Θεμιστοκλέους.
having-fought-at-sea by-judgment but and cleverness the of-Themistocles
16 Μετὰ δὲ τὴν ναυμαχίαν Ξέρξης μὲν ἔτι θυμομαχῶν
after and the sea-fight Xerxes indeed still struggling-in-anger
πρὸς τὴν ἀπότευξιν ἐπεχείρει διὰ χωμάτων ἐπάγειν τὸ
against the failure attempted through mounds to-lead the
πεζὸν τοῖς Ἕλλησιν εἰς Σαλαμῖνα, ἐμφράξας τὸν διὰ
infantry against-the Greeks to Salamis having-blocked the through
μέσου πόρον· Θεμιστοκλῆς δ' ἀποπειρώμενος Ἀριστείδου
middle strait Themistocles and sounding Aristides
λόγῳ γνώμην ἐποιεῖτο λύειν τὸ ζεῦγμα ταῖς ναυσὶν
in-word opinion made to-break-up the bridge with-the ships
ἐπιπλεύσαντας εἰς Ἑλλήσποντον, "Ὅπως," ἔφη, "τὴν
sailing-against to Hellespont so-that he-said the
Ἀσίαν ἐν τῇ Εὐρώπῃ λάβωμεν." δυσχεραίνοντος δὲ τοῦ
Asia in — Europe we-may-take being-displeased and —
Ἀριστείδου καὶ λέγοντος ὅτι, "Νῦν μὲν τρυφῶντι τῷ
Aristides and saying that now indeed with-a-luxuriating the
βαρβάρῳ πεπολεμήκαμεν, ἂν δὲ κατακλείσωμεν εἰς τὴν
barbarian we-have-fought if and we-shut-in into —

Ἑλλάδα καὶ καταστήσωμεν εἰς ἀνάγκην ὑπὸ δέους ἄνδρα
Greece and put into necessity under fear a-man
τηλικούτων δυνάμεων κύριον, οὐκέτι καθήμενος ὑπὸ σκιάδι
of-such forces master no-longer sitting under a-parasol
χρυσῇ θεάσεται τὴν μάχην ἐφ' ἡσυχίας, ἀλλὰ πάντα τολμῶν
golden will-he-watch the battle at leisure but everything daring
καὶ πᾶσιν αὐτὸς παρὼν διὰ τὸν κίνδυνον ἐπανορθώσεται
and in-all himself present because-of the danger will-set-right
τὰ παρειμένα καὶ βουλεύσεται βέλτιον ὑπὲρ τῶν ὅλων· οὐ
the things-neglected and will-plan better on-behalf-of the whole not
τὴν οὖσαν οὖν," ἔφη, "δεῖ γέφυραν, ὦ Θεμιστόκλεις, ἡμᾶς
the existing then he-said it-is-needful bridge O Themistocles us
ἀναιρεῖν, ἀλλ' ἑτέραν, εἴπερ οἷόν τε, προσκατασκευάσαντας
to-destroy but another if-indeed possible — having-built-besides
ἐκβαλεῖν διὰ τάχους τὸν ἄνθρωπον ἐκ τῆς Εὐρώπης."
to-throw-out with speed the man from — Europe
"Οὐκοῦν," εἶπεν ὁ Θεμιστοκλῆς, "εἰ δοκεῖ ταῦτα
well-then said — Themistocles if seems these-things
συμφέρειν, ὥρα σκοπεῖν καὶ μηχανᾶσθαι πάντας ἡμᾶς,
to-be-expedient it-is-time to-consider and to-contrive all us
ὅπως ἀπαλλαγήσεται τὴν ταχίστην ἐκ τῆς Ἑλλάδος."
how he-will-depart the quickest from — Greece
Ἐπεὶ δὲ ταῦτα ἔδοξε, πέμπει τινὰ τῶν βασιλικῶν
when and these-things seemed-good he-sends one of-the royal
εὐνούχων ἐν τοῖς αἰχμαλώτοις ἀνευρών, Ἀρνάκην
eunuchs among the captives having-found Arnaces
ὄνομα, φράζειν βασιλεῖ κελεύσας, ὅτι τοῖς μὲν Ἕλλησι
by-name to-tell to-the-king having-bidden that to-the indeed Greeks
δέδοκται τῷ ναυτικῷ κεκρατηκότας ἀναπλεῖν εἰς τὸν
it-has-been-resolved with-the navy having-prevailed to-sail-up to the
Ἑλλήσποντον ἐπὶ τὸ ζεῦγμα καὶ λύειν τὴν γέφυραν,
Hellespont to the bridge-of-boats and to-break-up the bridge

Θεμιστοκλῆς δὲ κηδόμενος βασιλέως παραινεῖ σπεύδειν
Themistocles and caring-for the-king advises to-hasten
ἐπὶ τὴν ἑαυτοῦ θάλατταν καὶ περαιοῦσθαι, μέχρις αὐτὸς
to the his-own sea and to-cross-over while he-himself
ἐμποιεῖ τινας διατριβὰς τοῖς συμμάχοις καὶ μελλήσεις
causes some delays for-the allies and postponements
πρὸς τὴν δίωξιν. ταῦθ' ὁ βάρβαρος ἀκούσας καὶ
toward the pursuit these-things the barbarian having-heard and
γενόμενος περίφοβος διὰ τάχους ἐποιεῖτο τὴν ἀναχώρησιν.
having-become terrified with speed made the withdrawal
καὶ πεῖραν ἡ Θεμιστοκλέους καὶ Ἀριστείδου φρόνησις ἐν
and a-test the of-Themistocles and of-Aristides prudence in
Μαρδονίῳ παρέσχεν, εἴγε πολλοστημορίῳ τῆς Ξέρξου
Mardonius gave since-indeed with-a-small-fraction of-the of-Xerxes
δυνάμεως διαγωνισάμενοι Πλαταιᾶσιν εἰς τὸν περὶ τῶν
force having-fought-it-out at-Plataea into the about the
ὅλων κίνδυνον κατέστησαν.
whole danger they-came

V · HONORS AND THE WALLS

The generals each vote themselves first and Themistocles second, Sparta crowns him, and at Olympia the crowd watches him instead of the contests. His sayings are recalled. He tricks the Spartans while the Athenians build their walls, fortifies the Piraeus, and turns the city to the sea. His secret plan to burn the Greeks' dockyard is judged by Aristides most advantageous and most unjust, so the Athenians forbid it, and his stand against the Spartans in the Amphictyonic council makes them promote Cimon.

Πόλεων μὲν οὖν τὴν Αἰγινητῶν ἀριστεῦσαί φησιν Ἡρόδοτος, 17
of-cities indeed then the of-Aeginetans to-have-excelled says Herodotus
Θεμιστοκλεῖ δέ, καίπερ ἄκοντες ὑπὸ φθόνου, τὸ πρωτεῖον
to-Themistocles and though unwilling through envy the first-prize
ἀπέδοσαν ἅπαντες. ἐπεὶ γὰρ ἀναχωρήσαντες εἰς τὸν Ἰσθμὸν
gave all when for having-withdrawn to — Isthmus
ἀπὸ τοῦ βωμοῦ τὴν ψῆφον ἔφερον οἱ στρατηγοί, πρῶτον μὲν
from the altar the vote carried the generals first indeed
ἕκαστος ἑαυτὸν ἀπέφαινεν ἀρετῇ, δεύτερον δὲ μεθ' ἑαυτὸν
each himself declared in-valor second and after himself
Θεμιστοκλέα. Λακεδαιμόνιοι δ' εἰς τὴν Σπάρτην αὐτὸν
Themistocles Lacedaemonians and to — Sparta him
καταγαγόντες Εὐρυβιάδῃ μὲν ἀνδρείας, ἐκείνῳ δὲ σοφίας
having-brought-down to-Eurybiades indeed of-courage to-that-one and of-wisdom
ἀριστεῖον ἔδοσαν θαλλοῦ στέφανον, καὶ τῶν κατὰ τὴν πόλιν
a-prize gave of-olive a-crown and of-the in the city
ἁρμάτων τὸ πρωτεῦον ἐδωρήσαντο καὶ τριακοσίους τῶν
chariots the first presented and three-hundred of-the
νέων πομποὺς ἄχρι τῶν ὅρων συνεξέπεμψαν. λέγεται δ'
young-men as-escorts as-far-as the borders sent-out-with-him it-is-said and
Ὀλυμπίων τῶν ἐφεξῆς ἀγομένων καὶ παρελθόντος εἰς τὸ
of-Olympic-games the next being-held and having-come-forward into the
στάδιον τοῦ Θεμιστοκλέους, ἀμελήσαντας τῶν ἀγωνιστῶν
stadium — of-Themistocles having-neglected the contestants
τοὺς παρόντας ὅλην τὴν ἡμέραν ἐκεῖνον θεᾶσθαι καὶ τοῖς
those present whole the day him to-gaze-at and to-the
ξένοις ἐπιδεικνύειν ἅμα θαυμάζοντας καὶ κροτοῦντας, ὥστε
strangers to-point-out at-once admiring and clapping so-that
καὶ αὐτὸν ἡσθέντα πρὸς τοὺς φίλους ὁμολογῆσαι τὸν
even himself having-been-pleased to the friends to-have-admitted the
καρπὸν ἀπέχειν τῶν ὑπὲρ τῆς Ἑλλάδος αὐτῷ πονηθέντων.
fruit to-receive of-the on-behalf-of — Greece by-him labors

18 Καὶ γὰρ ἦν τῇ φύσει φιλοτιμότατος, εἰ δεῖ
and for he-was by-the nature most-ambitious if it-is-needful
τεκμαίρεσθαι διὰ τῶν ἀπομνημονευομένων. αἱρεθεὶς
to-judge from the things-recorded having-been-chosen
γὰρ ναύαρχος ὑπὸ τῆς πόλεως οὐδὲν οὔτε τῶν ἰδίων οὔτε
for admiral by the city nothing neither of-the private nor
τῶν κοινῶν κατὰ μέρος ἐχρημάτιζεν, ἀλλ᾽ ἐπανεβάλλετο
of-the public by part he-transacted but he-put-off
τὸ προσπῖπτον εἰς τὴν ἡμέραν ἐκείνην, καθ᾽ ἣν ἐκπλεῖν
the business-arising to the day that on which to-sail-out
ἔμελλεν, ἵν᾽ ὁμοῦ πολλὰ πράττων πράγματα καὶ
he-was-about so-that together many doing affairs and
παντοδαποῖς ἀνθρώποις ὁμιλῶν μέγας εἶναι δοκῇ καὶ
with-all-sorts-of men consorting great to-be he-might-seem and
πλεῖστον δύνασθαι.
most to-be-powerful
Τῶν δὲ νεκρῶν τοὺς ἐκπεσόντας ἐπισκοπῶν παρὰ
of-the and dead those washed-ashore inspecting along
τὴν θάλατταν, ὡς εἶδε περικειμένους ψέλια χρυσᾶ
the sea when he-saw wearing bracelets golden
καὶ στρεπτούς, αὐτὸς μὲν παρῆλθε, τῷ δ᾽ ἑπομένῳ
and necklaces himself indeed passed-by to-the and following
φίλῳ δείξας εἶπεν· “Ἀνελοῦ σαυτῷ· σὺ γὰρ οὐκ εἶ
friend having-shown he-said pick-up for-yourself you for not are
Θεμιστοκλῆς.” πρὸς δέ τινα τῶν καλῶν γεγονότων,
Themistocles to and a-certain of-the beautiful having-been
Ἀντιφάτην, ὑπερηφάνως αὐτῷ κεχρημένον πρότερον,
Antiphates arrogantly him having-treated before
ὕστερον δὲ θεραπεύοντα διὰ τὴν δόξαν, “Ὦ μειράκιον,”
later and courting because-of the fame O youth
εἶπεν, “ὀψὲ μέν, ἀμφότεροι δ᾽ ἅμα νοῦν ἐσχήκαμεν.”
he-said late indeed both and at-once sense we-have-got

ἔλεγε δὲ τοὺς Ἀθηναίους οὐ τιμᾶν αὐτὸν οὐδὲ θαυμάζειν,
he-said and the Athenians not to-honor him nor to-admire
ἀλλ' ὥσπερ πλατάνῳ χειμαζομένους μὲν ὑποτρέχειν
but as a-plane-tree in-storm indeed to-run-under
κινδυνεύοντας, εὐδίας δὲ περὶ αὐτοὺς γενομένης τίλλειν
being-in-danger fair-weather and around them having-come to-pluck
καὶ κολούειν. τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος,
and to-lop the and Seriphian to him having-said
ὡς οὐ δι' αὑτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν,
that not through himself he-has-got fame but through the city
"Ἀληθῆ λέγεις," εἶπεν, "ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν
true you-say he-said but neither — I a-Seriphian being
ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος."
would-have-become famous nor you an-Athenian
Ἑτέρου δέ τινος τῶν στρατηγῶν, ὡς ἔδοξέ τι
another and certain of-the generals as he-seemed something
χρήσιμον διαπεπρᾶχθαι τῇ πόλει, θρασυνομένου πρὸς
useful to-have-accomplished for-the city being-bold toward
τὸν Θεμιστοκλέα καὶ τὰς ἑαυτοῦ ταῖς ἐκείνου πράξεσιν
— Themistocles and the his-own to-the of-that-one deeds
ἀντιπαραβάλλοντος, ἔφη τῇ ἑορτῇ τὴν ὑστεραίαν
comparing he-said with-the festival the day-after
ἐρίσαι λέγουσαν, ὡς ἐκείνη μὲν ἀσχολιῶν τε μεστὴ
to-have-quarreled saying that that-one indeed of-occupations both full
καὶ κοπώδης ἐστίν, ἐν αὐτῇ δὲ πάντες ἀπολαύουσι
and wearisome is in her and all enjoy
τῶν παρεσκευασμένων σχολάζοντες· τὴν δ' ἑορτὴν πρὸς
the things-prepared being-at-leisure the and festival to
ταῦτ' εἰπεῖν· "Ἀληθῆ λέγεις· ἀλλ' ἐμοῦ μὴ γενομένης σὺ
these-things to-say true you-say but of-me not having-been you
οὐκ ἂν ἦσθα·" "κἀμοῦ τοίνυν," ἔφη, "τότε μὴ γενομένου,
not — would-be and-of-me well-then he-said then not having-been

ποῦ ἂν ἦτε νῦν ὑμεῖς;" τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ
where — would-be now you the and son being-saucy toward-the
μητρὶ καὶ δι' ἐκείνην αὐτῷ σκώπτων ἔλεγε πλεῖστον
mother and through her to-him mocking he-said most
τῶν Ἑλλήνων δύνασθαι· τοῖς μὲν γὰρ Ἕλλησιν ἐπιτάττειν
of-the Greeks to-be-powerful to-the indeed for Greeks to-command
Ἀθηναίους, Ἀθηναίοις δ' αὐτόν, αὐτῷ δὲ τὴν ἐκείνου
Athenians to-Athenians and himself to-himself and the of-that-one
μητέρα, τῇ μητρὶ δ' ἐκεῖνον. ἴδιος δέ τις ἐν πᾶσι
mother to-the mother and that-one peculiar and somewhat in all
βουλόμενος εἶναι χωρίον μὲν πιπράσκων ἐκέλευε κηρύττειν,
wishing to-be a-field indeed selling he-bade to-proclaim
ὅτι καὶ γείτονα χρηστὸν ἔχει· τῶν δὲ μνωμένων αὐτοῦ
that also a-neighbor good it-has of-the and wooing his
τὴν θυγατέρα τὸν ἐπιεικῆ τοῦ πλουσίου προκρίνας ἔφη
the daughter the decent-one to-the rich having-preferred he-said
ζητεῖν ἄνδρα χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα
to-seek a-man of-money in-need rather than money
ἀνδρός. ἐν μὲν οὖν τοῖς ἀποφθέγμασι τοιοῦτός τις ἦν.
of-a-man in indeed then the sayings such somewhat he-was

19 Γενόμενος δ' ἀπὸ τῶν πράξεων ἐκείνων εὐθὺς ἐπεχείρει
having-come and from the actions those at-once he-attempted
τὴν πόλιν ἀνοικοδομεῖν καὶ τειχίζειν, ὡς μὲν ἱστορεῖ
the city to-rebuild and to-wall as indeed records
Θεόπομπος, χρήμασι πείσας μὴ ἐναντιωθῆναι τοὺς
Theopompus with-money having-persuaded not to-oppose the
ἐφόρους, ὡς δ' οἱ πλεῖστοι, παρακρουσάμενος. ἦκε
ephors as and the most having-outwitted-them he-came
μὲν γὰρ εἰς Σπάρτην ὄνομα πρεσβείας ἐπιγραψάμενος·
indeed for to Sparta the-name of-an-embassy having-put-on
ἐγκαλούντων δὲ τῶν Σπαρτιατῶν, ὅτι τειχίζουσι τὸ
accusing and the Spartans that they-are-walling the

ἄστυ, καὶ Πολυάρχου κατηγοροῦντος ἐπίτηδες ἐξ Αἰγίνης
town and Polyarchus accusing purposely from Aegina
ἀποσταλέντος, ἠρνεῖτο καὶ πέμπειν ἐκέλευεν εἰς Ἀθήνας
having-been-sent he-denied and to-send he-bade to Athens
τοὺς κατοψομένους, ἅμα μὲν ἐμβάλλων τῷ τειχισμῷ
those to-look at-once indeed throwing-in for-the walling
χρόνον ἐκ τῆς διατριβῆς, ἅμα δὲ βουλόμενος ἀντ᾽
time from the delay at-once and wishing instead-of
αὐτοῦ τοὺς πεμπομένους ὑπάρχειν τοῖς Ἀθηναίοις. ὃ
him those sent to-be-held-as-hostages by-the Athenians which
καὶ συνέβη· γνόντες γὰρ οἱ Λακεδαιμόνιοι τὸ ἀληθὲς οὐκ
also happened having-learned for the Lacedaemonians the truth not
ἠδίκησαν αὐτόν, ἀλλ᾽ ἀδήλως χαλεπαίνοντες ἀπέπεμψαν.
did-wrong him but secretly being-angry sent-him-away
Ἐκ δὲ τούτου τὸν Πειραιᾶ κατεσκεύαζε, τὴν τῶν λιμένων
from and this — Piraeus he-built the of-the harbors
εὐφυΐαν κατανοήσας καὶ τὴν πόλιν ὅλην ἁρμοττόμενος πρὸς
good-nature having-observed and the city whole adapting to
τὴν θάλατταν, καὶ τρόπον τινὰ τοῖς παλαιοῖς βασιλεῦσι τῶν
the sea and in-a-way some to-the old kings of-the
Ἀθηναίων ἀντιπολιτευόμενος. ἐκεῖνοι μὲν γάρ, ὡς λέγεται,
Athenians opposing-in-policy those indeed for as is-said
πραγματευόμενοι τοὺς πολίτας ἀποσπάσαι τῆς θαλάττης
striving the citizens to-draw-away from-the sea
καὶ συνεθίσαι ζῆν μὴ πλέοντας, ἀλλὰ τὴν χώραν φυτεύοντας,
and to-accustom to-live not sailing but the land planting
τὸν περὶ τῆς Ἀθηνᾶς διέδοσαν λόγον, ὡς ἐρίσαντα περὶ
the about — Athena spread story how having-contended about
τῆς χώρας τὸν Ποσειδῶ δείξασα τὴν μορίαν τοῖς δικασταῖς
the land — Poseidon having-shown the sacred-olive to-the judges
ἐνίκησε. Θεμιστοκλῆς δ᾽ οὐχ, ὡς Ἀριστοφάνης ὁ κωμικὸς
she-won Themistocles and not as Aristophanes the comic-poet

λέγει, τῇ πόλει τὸν Πειραιᾶ προσέμαξεν, ἀλλὰ τὴν πόλιν
says to-the city — Piraeus kneaded-on but the city
ἐξῆψε τοῦ Πειραιῶς καὶ τὴν γῆν τῆς θαλάττης· ὅθεν
fastened — from-Piraeus and the land from-the sea whence
καὶ τὸν δῆμον ηὔξησε κατὰ τῶν ἀρίστων καὶ θράσους
also the people he-increased against the best and with-boldness
ἐνέπλησεν, εἰς ναύτας καὶ κελευστὰς καὶ κυβερνήτας τῆς
filled into sailors and boatswains and helmsmen the
δυνάμεως ἀφικομένης. διὸ καὶ τὸ βῆμα τὸ ἐν Πνυκὶ
power having-come wherefore also the tribune the on Pnyx
πεποιημένον ὥστ' ἀποβλέπειν πρὸς τὴν θάλασσαν ὕστερον
made so-as to-look toward the sea later
οἱ τριάκοντα πρὸς τὴν χώραν ἀπέστρεψαν, οἰόμενοι τὴν
the thirty toward the land turned thinking the
μὲν κατὰ θάλατταν ἀρχὴν γένεσιν εἶναι δημοκρατίας,
indeed by sea empire origin to-be of-democracy
ὀλιγαρχίᾳ δ' ἧττον δυσχεραίνειν τοὺς γεωργοῦντας.
with-oligarchy and less to-be-displeased those farming
20 Θεμιστοκλῆς δὲ καὶ μεῖζόν τι περὶ τῆς ναυτικῆς
Themistocles and also greater something about the naval
διενοήθη δυνάμεως. ἐπεὶ γὰρ ὁ τῶν Ἑλλήνων στόλος
planned power when for the of-the Greeks fleet
ἀπηλλαγμένου Ξέρξου κατῆρεν εἰς Παγασὰς καὶ διεχείμαζε,
having-departed Xerxes put-in to Pagasae and was-wintering
δημηγορῶν ἐν τοῖς Ἀθηναίοις ἔφη τινα πρᾶξιν ἔχειν
addressing-the-people in the Athenians he-said some action to-have
ὠφέλιμον μὲν αὐτοῖς καὶ σωτήριον, ἀπόρρητον δὲ πρὸς
useful indeed for-them and saving secret but toward
τοὺς πολλούς. τῶν δ' Ἀθηναίων Ἀριστείδῃ φράσαι μόνῳ
the many the and Athenians to-Aristides to-tell alone
κελευόντων, κἂν ἐκεῖνος δοκιμάσῃ περαίνειν, ὁ μὲν
bidding and-if he approve to-accomplish-it — indeed

Θεμιστοκλῆς ἔφρασε τῷ Ἀριστείδῃ, τὸ νεώριον ἐμπρῆσαι
Themistocles told — to-Aristides the dockyard to-burn
διανοεῖσθαι τῶν Ἑλλήνων· ὁ δ' Ἀριστείδης εἰς τὸν δῆμον
he-intended of-the Greeks — and Aristides to the people
παρελθὼν ἔφη τῆς πράξεως, ἣν διανοεῖται πράττειν
having-come-forward said than-the action which intends to-do
ὁ Θεμιστοκλῆς, μηδεμίαν εἶναι μήτε λυσιτελεστέραν
— Themistocles none to-be neither more-profitable
μήτ' ἀδικωτέραν. οἱ μὲν οὖν Ἀθηναῖοι διὰ ταῦτα
nor more-unjust the indeed then Athenians because-of these-things
παύσασθαι τῷ Θεμιστοκλεῖ προσέταξαν.
to-stop — Themistocles ordered
Ἐν δὲ τοῖς Ἀμφικτυονικοῖς συνεδρίοις τῶν Λακεδαιμονίων
in and the Amphictyonic councils the Lacedaemonians
εἰσηγουμένων, ὅπως ἀπείργωνται τῆς Ἀμφικτυονίας αἱ
proposing that be-excluded — from-Amphictyony those
μὴ συμμαχήσασαι κατὰ τοῦ Μήδου πόλεις, φοβηθείς, μὴ
not having-fought-as-allies against the Mede cities having-feared lest
Θετταλοὺς καὶ Ἀργείους, ἔτι δὲ Θηβαίους ἐκβαλόντες
Thessalians and Argives further and Thebans having-expelled
τοῦ συνεδρίου παντελῶς ἐπικρατήσωσι τῶν ψήφων
from-the council completely they-control the votes
καὶ γένηται τὸ δοκοῦν ἐκείνοις, συνεῖπε ταῖς πόλεσι
and come-to-pass the seeming-good to-them he-spoke-for the cities
καὶ μετέθηκε τὰς γνώμας τῶν πυλαγόρων, διδάξας, ὡς
and changed the opinions of-the delegates having-taught that
τριάκοντα καὶ μία μόναι πόλεις εἰσὶν αἱ μετασχοῦσαι τοῦ
thirty and one only cities are those having-shared-in the
πολέμου, καὶ τούτων αἱ πλείους παντάπασι μικραί· δεινὸν
war and of-these the most altogether small terrible
οὖν, εἰ τῆς ἄλλης Ἑλλάδος ἐκσπόνδου γενομένης ἐπὶ ταῖς
then if of-the other Greece excluded having-become at the

μεγίσταις δυσὶν ἢ τρισὶ πόλεσιν ἔσται τὸ συνέδριον. ἐκ
greatest two or three cities will-be the council from
τούτου μὲν οὖν μάλιστα τοῖς Λακεδαιμονίοις προσέκρουσε·
this indeed then most the Lacedaemonians he-offended
διὸ καὶ τὸν Κίμωνα προῆγον ταῖς τιμαῖς, ἀντίπαλον
wherefore also — Cimon they-advanced with-the honors as-a-rival
ἐν τῇ πολιτείᾳ τῷ Θεμιστοκλεῖ καθιστάντες.
in the state — to-Themistocles setting-up

VI · OSTRACISM AND FLIGHT

Themistocles demands money of the Andrians in the name of two gods, Persuasion and Force, and is lampooned by Timocreon of Rhodes. He offends by building the shrine of Artemis Aristobule, is ostracized, and lives at Argos. Charged with sharing Pausanias' treason, he flees to Corcyra and then to Admetus, king of the Molossians, at whose hearth he sits holding the king's son. Epicrates of Acharnae smuggles his wife and children out of Athens.

21 Ἦν δὲ καὶ τοῖς συμμάχοις ἐπαχθὴς περιπλέων τε
he-was and also to-the allies offensive sailing-round both
τὰς νήσους καὶ χρηματιζόμενος ἀπ' αὐτῶν· οἷα καὶ
the islands and making-money from them such-as also
πρὸς Ἀνδρίους ἀργύριον αἰτοῦντά φησιν αὐτὸν Ἡρόδοτος
to Andrians money demanding says him Herodotus
εἰπεῖν τε καὶ ἀκοῦσαι. δύο γὰρ ἥκειν ἔφη θεοὺς
to-have-said both and to-have-heard two for to-have-come he-said gods
κομίζων, Πειθὼ καὶ Βίαν· οἱ δ' ἔφασαν εἶναι καὶ
bringing Persuasion and Force they and said there-were also
παρ' αὐτοῖς θεοὺς μεγάλους δύο, Πενίαν καὶ Ἀπορίαν,
among them gods great two Poverty and Helplessness
ὑφ' ὧν κωλύεσθαι δοῦναι χρήματα ἐκείνῳ.
by whom to-be-prevented to-give money to-him

Τιμοκρέων δ᾽ ὁ Ῥόδιος μελοποιὸς ἐν ᾄσματι καθάπτεται
Timocreon and the Rhodian lyric-poet in a-song attacks
πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ
more-bitterly — Themistocles as others indeed for
χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον
money exiles having-contrived to-return him and a-guest
ὄντα καὶ φίλον προεμένου δι᾽ ἀργύριον. λέγει δ᾽ οὕτως·
being and a-friend having-abandoned for silver he-says and thus

Ἀλλ᾽ εἰ τύγε Παυσανίαν ἢ καὶ τύγε Ξάνθιππον αἰνεῖς
but if you Pausanias or also you Xanthippus praise
ἢ τύγε Λευτυχίδαν, ἐγὼ δ᾽ Ἀριστείδαν ἐπαινέω
or you Leotychidas I and Aristides praise
ἄνδρ᾽ ἱερᾶν ἀπ᾽ Ἀθανᾶν
a-man holy from Athens
ἐλθεῖν ἕνα λῷστον· ἐπεὶ Θεμιστοκλῆ᾽ ἤχθαρε Λατώ,
to-have-come one best since Themistocles hated Leto
ψεύσταν, ἄδικον, προδόταν, ὃς Τιμοκρέοντα ξεῖνον ἔοντ᾽
liar unjust traitor who Timocreon a-guest-friend being
ἀργυρίοις σκυβαλικτοῖσι πεισθεὶς οὐ κατᾶγεν
by-silver-pieces scurvy persuaded not brought-back

εἰς πάτραν Ἰαλυσόν,
to fatherland Ialysus
λαβὼν δὲ τρεῖ ἀργυρίου τάλαντ' ἔβα πλέων εἰς ὄλεθρον,
having-taken and three of-silver talents he-went sailing to destruction
τοὺς μὲν κατάγων ἀδίκως, τοὺς δ' ἐκδιώκων,
the-some indeed restoring unjustly the-others and driving-out
τοὺς δὲ καίνων,
the-others and killing
ἀργυρίων ὑπόπλεως, Ἰσθμοῖ δ' ἐπανδόκευε
with-silver full at-Isthmus and he-kept-inn
γελοίως ψυχρὰ κρέα παρέχων·
laughably cold meats providing
οἱ δ' ἤσθιον κηὔχοντο μὴ ὥραν Θεμιστοκλεῦς γενέσθαι.
they and ate and-prayed not care of-Themistocles to-be

πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς
much and more-wanton and opened-out more against
τὸν Θεμιστοκλέα βλασφημίᾳ κέχρηται μετὰ τὴν φυγὴν
— Themistocles abuse has-used after the exile
αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων ᾆσμα ποιήσας,
his and the condemnation — Timocreon a-song having-made
οὗ ἐστιν ἀρχή·
of-which is the-beginning

Μοῦσα τοῦδε τοῦ μέλεος
Muse of-this the song
κλέος ἀν' Ἕλλανας τίθει,
fame among Greeks set
ὡς ἐοικὸς καὶ δίκαιον.
as fitting and just

λέγεται δ' ὁ Τιμοκρέων ἐπὶ μηδισμῷ φυγεῖν
it-is-said and — Timocreon for medism to-have-been-exiled
συγκαταψηφισαμένου τοῦ Θεμιστοκλέους. ὡς οὖν ὁ
having-joined-in-condemning — Themistocles when then —
Θεμιστοκλῆς αἰτίαν ἔσχε μηδίζειν, ταῦτ' ἐποίησεν εἰς
Themistocles accusation had of-medizing these-things he-made against
αὐτόν·
him

Οὐκ ἄρα Τιμοκρέων μοῦνος Μήδοισιν ὁρκιατομεῖ,
not then Timocreon alone with-Medes swears-oaths
ἀλλ' ἐντὶ κἄλλοι δὴ πονηροί· οὐκ ἐγὼ μόνα κόλουρις·
but there-are and-others indeed wicked not I alone crop-tailed
ἐντὶ καὶ ἄλλαι ἀλώπεκες.
there-are also other foxes

Ἤδη δὲ καὶ τῶν πολιτῶν διὰ τὸ φθονεῖν ἡδέως τὰς 22
already and also of-the citizens because-of the envying gladly the
διαβολὰς προσιεμένων ἠναγκάζετο λυπηρὸς εἶναι τῶν αὑτοῦ
slanders admitting he-was-compelled offensive to-be his own
πράξεων πολλάκις ἐν τῷ δήμῳ μνημονεύων· καὶ πρὸς
deeds often in the people recalling and to
τοὺς δυσχεραίνοντας "Τί κοπιᾶτε," εἶπεν, "ὑπὸ τῶν αὐτῶν
those being-displeased why are-you-weary he-said by the same
πολλάκις εὖ πάσχοντες;" ἠνίασε δὲ τοὺς πολλοὺς καὶ τὸ
often well being-treated he-vexed and the many also the
τῆς Ἀρτέμιδος ἱερὸν εἱσάμενος, ἣν Ἀριστοβούλην μὲν
— of-Artemis shrine having-founded whom Aristobule indeed
προσηγόρευσεν, ὡς ἄριστα τῇ πόλει καὶ τοῖς Ἕλλησι
he-called as best for-the city and for-the Greeks
βουλευσάμενος, πλησίον δὲ τῆς οἰκίας κατεσκεύασεν ἐν
having-counseled near and the house he-built in

Μελίτῃ τὸ ἱερὸν, οὗ νῦν τὰ σώματα τῶν θανατουμένων
Melite the shrine where now the bodies of-the executed
οἱ δήμιοι προβάλλουσι καὶ τὰ ἱμάτια καὶ τοὺς
the public-executioners throw-out and the cloaks and the
βρόχους τῶν ἀπαγχομένων καὶ καθαιρεθέντων ἐκφέρουσιν.
nooses of-those hanged and taken-down carry-out
ἔκειτο δὲ καὶ τοῦ Θεμιστοκλέους εἰκόνιον ἐν τῷ ναῷ τῆς
lay and also — of-Themistocles a-small-image in the temple —
Ἀριστοβούλης ἔτι καθ' ἡμᾶς· καὶ φαίνεταί τις οὐ τὴν
of-Aristobule still in our-time and he-appears someone not the
ψυχὴν μόνον, ἀλλὰ καὶ τὴν ὄψιν ἡρωϊκὸς γενόμενος.
soul only but also the appearance heroic having-been
Τὸν μὲν οὖν ἐξοστρακισμὸν ἐποιήσαντο κατ' αὐτοῦ
the indeed then ostracism they-made against him
κολούοντες τὸ ἀξίωμα καὶ τὴν ὑπεροχήν, ὥσπερ
lopping the prestige and the preeminence as
εἰώθεσαν ἐπὶ πάντων, οὓς ᾤοντο τῇ δυνάμει
they-were-accustomed in-the-case-of all whom they-thought in-the power
βαρεῖς καὶ πρὸς ἰσότητα δημοκρατικὴν ἀσυμμέτρους εἶναι.
oppressive and to equality democratic out-of-proportion to-be
κόλασις γὰρ οὐκ ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία
punishment for not was the ostracism but consolation
φθόνου καὶ κουφισμὸς ἡδομένου τῷ ταπεινοῦν τοὺς
of-envy and relief taking-pleasure by-the to-humble the
ὑπερέχοντας καὶ τὴν δυσμένειαν εἰς ταύτην τὴν ἀτιμίαν
eminent and the ill-will into this the disfranchisement
ἀποπνέοντος.
breathing-out

23 Ἐκπεσόντος δὲ τῆς πόλεως αὐτοῦ καὶ διατρίβοντος
having-been-banished and from-the city him and staying
ἐν Ἄργει τὰ περὶ Παυσανίαν συμπεσόντα κατ' ἐκείνου
in Argos the about Pausanias having-befallen against him

παρέσχε τοῖς ἐχθροῖς ἀφορμάς. ὁ δὲ γραψάμενος αὐτὸν
gave to-the enemies occasions the and having-indicted him
προδοσίας Λεωβώτης ἦν ὁ Ἀλκμαίωνος Ἀγραυλῆθεν, ἅμα
for-treason Leobotes was the of-Alcmaeon of-Agryle at-once
συνεπαιτιωμένων τῶν Σπαρτιατῶν. ὁ γὰρ Παυσανίας
joining-in-the-charge the Spartans — for Pausanias
πράττων ἐκεῖνα δὴ τὰ περὶ τὴν προδοσίαν πρότερον μὲν
doing those indeed the about the treason before indeed
ἀπεκρύπτετο τὸν Θεμιστοκλέα, καίπερ ὄντα φίλον· ὡς δ'
concealed-from — Themistocles though being a-friend when and
εἶδεν ἐκπεπτωκότα τῆς πολιτείας καὶ φέροντα χαλεπῶς
he-saw banished from-the state and bearing-it hard
ἐθάρσησεν ἐπὶ τὴν κοινωνίαν τῶν πραττομένων παρακαλεῖν,
he-took-courage to the partnership of-the things-done to-invite
γράμματα τοῦ βασιλέως ἐπιδεικνύμενος αὐτῷ καὶ παροξύνων
letters of-the king showing to-him and inciting
ἐπὶ τοὺς Ἕλληνας ὡς πονηροὺς καὶ ἀχαρίστους. ὁ δὲ τὴν
against the Greeks as wicked and ungrateful he and the
μὲν δέησιν ἀπετρίψατο τοῦ Παυσανίου καὶ τὴν κοινωνίαν
indeed request rejected — of-Pausanias and the partnership
ὅλως ἀπείπατο, πρὸς οὐδένα δὲ τοὺς λόγους ἐξήνεγκεν
wholly refused to no-one and the words he-divulged
οὐδὲ κατεμήνυσε τὴν πρᾶξιν, εἴτε παύσεσθαι προσδοκῶν
nor informed-against the act whether to-stop expecting
αὐτόν, εἴτ' ἄλλως καταφανῆ γενήσεσθαι σὺν οὐδενὶ
him or otherwise manifest to-become with no
λογισμῷ πραγμάτων ἀτόπων καὶ παραβόλων ὀρεγόμενον.
reasoning things strange and reckless grasping-after
Οὕτω δὴ τοῦ Παυσανίου θανατωθέντος ἐπιστολαί τινες
so indeed — Pausanias having-been-put-to-death letters some
ἀνευρεθεῖσαι καὶ γράμματα περὶ τούτων εἰς ὑποψίαν
having-been-found and writings about these-things into suspicion

ἐνέβαλον τὸν Θεμιστοκλέα· καὶ κατεβόων μὲν αὐτοῦ
threw — Themistocles and cried-out-against indeed him
Λακεδαιμόνιοι, κατηγόρουν δ' οἱ φθονοῦντες τῶν πολιτῶν,
Lacedaemonians accused and those envying of-the citizens
οὐ παρόντος, ἀλλὰ διὰ γραμμάτων ἀπολογουμένου μάλιστα
not present but through writing defending-himself most
ταῖς προτέραις κατηγορίαις. διαβαλλόμενος γὰρ ὑπὸ τῶν
with-the earlier accusations being-slandered for by the
ἐχθρῶν πρὸς τοὺς πολίτας ἔγραφεν, ὡς ἄρχειν μὲν ἀεὶ
enemies to the citizens he-wrote that to-rule indeed always
ζητῶν, ἄρχεσθαι δὲ μὴ πεφυκὼς μηδὲ βουλόμενος, οὐκ ἄν
seeking to-be-ruled and not being-born-for nor wishing not —
ποτε βαρβάροις αὑτὸν οὐδὲ πολεμίοις ἀποδόσθαι μετὰ τῆς
ever to-barbarians himself nor to-enemies would-sell with —
Ἑλλάδος. οὐ μὴν ἀλλὰ συμπεισθεὶς ὑπὸ τῶν κατηγορούντων
Greece not indeed but persuaded by those accusing
ὁ δῆμος ἔπεμψεν ἄνδρας, οἷς εἴρητο συλλαμβάνειν
the people sent men to-whom it-had-been-told to-arrest
καὶ ἀνάγειν αὐτὸν κριθησόμενον ἐν τοῖς Ἕλλησιν.
and to-bring-up him to-be-tried among the Greeks
24 Προαισθόμενος δ' ἐκεῖνος εἰς Κέρκυραν διεπέρασεν,
having-perceived-in-advance and he to Corcyra crossed
οὔσης αὐτῷ πρὸς τὴν πόλιν εὐεργεσίας. Γενόμενος γὰρ
being to-him toward the city a-benefaction having-become for
αὐτῶν κριτὴς πρὸς Κορινθίους ἐχόντων διαφοράν, ἔλυσε
their judge against Corinthians having a-dispute he-dissolved
τὴν ἔχθραν εἴκοσι τάλαντα κρίνας τοὺς Κορινθίους
the enmity twenty talents having-judged the Corinthians
καταβαλεῖν καὶ Λευκάδα κοινῇ νέμειν ἀμφοτέρων ἄποικον.
to-pay and Leucas in-common to-occupy of-both a-colony
ἐκεῖθεν δ' εἰς Ἤπειρον ἔφυγε· καὶ διωκόμενος ὑπὸ τῶν
from-there and to Epirus he-fled and being-pursued by the

Ἀθηναίων καὶ τῶν Λακεδαιμονίων ἔρριψεν αὑτὸν εἰς
Athenians and the Lacedaemonians he-threw himself into
ἐλπίδας χαλεπὰς καὶ ἀπόρους καταφυγὼν πρὸς Ἄδμητον,
hopes hard and desperate having-fled to Admetus
ὃς βασιλεὺς μὲν ἦν Μολοττῶν, δεηθεὶς δέ τι τῶν
who king indeed was of-Molossians having-asked and something of-the
Ἀθηναίων καὶ προπηλακισθεὶς ὑπὸ τοῦ Θεμιστοκλέους, ὅτ᾽
Athenians and having-been-insulted by — Themistocles when
ἤκμαζεν ἐν τῇ πολιτείᾳ, δι᾽ ὀργῆς εἶχεν αὐτὸν ἀεὶ
he-was-at-his-height in the state in anger held him always
καὶ δῆλος ἦν, εἰ λάβοι, τιμωρησόμενος. ἐν δὲ τῇ
and clear he-was if he-should-catch-him going-to-take-vengeance in and the
τότε τύχῃ μᾶλλον ὁ Θεμιστοκλῆς φοβηθεὶς συγγενῆ καὶ
then fortune rather — Themistocles having-feared kindred and
πρόσφατον φθόνον ὀργῆς παλαιᾶς καὶ βασιλικῆς, ταύτῃ
fresh envy than-anger old and royal to-this
φέρων ὑπέθηκεν ἑαυτόν, ἱκέτης τοῦ Ἀδμήτου καταστὰς
bringing he-submitted himself suppliant — of-Admetus having-become
ἴδιόν τινα καὶ παρηλλαγμένον τρόπον. ἔχων γὰρ αὐτοῦ
peculiar some and unusual manner having for his
τὸν υἱὸν ὄντα παῖδα πρὸς τὴν ἑστίαν προσέπεσε, ταύτην
the son being a-child to the hearth he-fell-down this
μεγίστην καὶ μόνην σχεδὸν ἀναντίρρητον ἡγουμένων
greatest and alone almost irrefutable considering
ἱκεσίαν τῶν Μολοσσῶν. ἔνιοι μὲν οὖν Φθίαν τὴν γυναῖκα
supplication the Molossians some indeed then Phthia the wife
τοῦ βασιλέως λέγουσιν ὑποθέσθαι τῷ Θεμιστοκλεῖ τὸ
of-the king say to-have-suggested — to-Themistocles the
ἱκέτευμα τοῦτο καὶ τὸν υἱὸν ἐπὶ τὴν ἑστίαν καθίσαι μετ᾽
supplication this and the son on the hearth to-seat with
αὐτοῦ· τινὲς δ᾽ αὐτὸν τὸν Ἄδμητον, ὡς ἀφοσιώσαιτο
him some and himself — Admetus so-that he-might-acquit-himself

πρὸς τοὺς διώκοντας τὴν ἀνάγκην, δι' ἣν οὐκ ἐκδίδωσι
toward the pursuers the necessity because-of which not he-surrenders
τὸν ἄνδρα, διαθεῖναι καὶ συντραγῳδῆσαι τὴν ἱκεσίαν.
the man to-have-arranged and to-have-staged-with-him the supplication
Ἐκεῖ δ' αὐτῷ τὴν γυναῖκα καὶ τοὺς παῖδας ἐκκλέψας
there and to-him the wife and the children having-stolen-away
ἐκ τῶν Ἀθηνῶν Ἐπικράτης ὁ Ἀχαρνεὺς ἀπέστειλεν· ὃν
from — Athens Epicrates the Acharnian sent whom
ἐπὶ τούτῳ Κίμων ὕστερον κρίνας ἐθανάτωσεν, ὡς ἱστορεῖ
for this Cimon later having-tried put-to-death as records
Στησίμβροτος. εἶτ' οὐκ οἶδ' ὅπως ἐπιλαθόμενος τούτων
Stesimbrotus then not I-know how having-forgotten these-things
ἢ τὸν Θεμιστοκλέα ποιῶν ἐπιλαθόμενον πλεῦσαί φησιν
or — Themistocles making having-forgotten to-have-sailed he-says
εἰς Σικελίαν καὶ παρ' Ἱέρωνος αἰτεῖν τοῦ τυράννου τὴν
to Sicily and from Hiero to-ask the tyrant the
θυγατέρα πρὸς γάμον, ὑπισχνούμενον αὐτῷ τοὺς Ἕλληνας
daughter for marriage promising to-him the Greeks
ὑπηκόους ποιήσειν· ἀποτριψαμένου δὲ τοῦ Ἱέρωνος, οὕτως
subjects to-make having-rejected and — Hiero thus
εἰς τὴν Ἀσίαν ἀπᾶραι.
to — Asia to-have-set-sail

VII · TO THE GREAT KING

Themistocles sails from Pydna and, carried toward Naxos under Athenian siege, forces the shipmaster on to Asia, while eighty or a hundred talents of his property are confiscated. With two hundred talents on his head he hides at Aegae with Nicogenes, whose children's tutor cries out in verse about night, and he dreams of a serpent turned eagle. Carried to the king in a curtained carriage like a woman, he agrees to do obeisance at the chiliarch Artabanus' demand and pleads his services; the king, rejoicing, cries, "I have Themistocles the Athenian."

Ταῦτα δ' οὐκ εἰκός ἐστιν οὕτω γενέσθαι. Θεόφραστος γὰρ 25
these-things and not likely it-is so to-have-happened Theophrastus for
ἐν τοῖς Περὶ βασιλείας ἱστορεῖ τὸν Θεμιστοκλέα πέμψαντος
in his On kingship records — Themistocles having-sent
εἰς Ὀλυμπίαν Ἱέρωνος ἵππους ἀγωνιστὰς καὶ σκηνήν τινα
to Olympia Hiero horses for-racing and a-tent some
κατεσκευασμένην πολυτελῶς στήσαντος, εἰπεῖν ἐν
furnished expensively having-set-up to-have-spoken among
τοῖς Ἕλλησι λόγον, ὡς χρὴ τὴν σκηνὴν διαρπάσαι τοῦ
the Greeks a-speech that it-is-needful the tent to-plunder of-the
τυράννου καὶ κωλῦσαι τοὺς ἵππους ἀγωνίσασθαι. Θουκυδίδης
tyrant and to-prevent the horses to-compete Thucydides
δέ φησι καὶ πλεῦσαι αὐτὸν ἐπὶ τὴν ἑτέραν καταβάντα
and says also to-have-sailed him to the other having-gone-down
θάλασσαν ἀπὸ Πύδνης, οὐδενὸς εἰδότος ὅστις εἴη τῶν
sea from Pydna no-one knowing who he-was of-those
πλεόντων, μέχρι οὗ πνεύματι τῆς ὁλκάδος εἰς Νάξον
sailing until — by-wind the merchant-ship to Naxos
καταφερομένης ὑπὸ Ἀθηναίων πολιορκουμένην τότε φοβηθεὶς
being-carried by Athenians besieged then having-feared
ἀναδείξειεν ἑαυτὸν τῷ τε ναυκλήρῳ καὶ τῷ κυβερνήτῃ,
he-revealed himself to-the both shipowner and to-the helmsman

καὶ τὰ μὲν δεόμενος, τὰ δ' ἀπειλῶν καὶ λέγων, ὅτι
and partly indeed begging partly and threatening and saying that
κατηγορήσοι καὶ καταψεύσοιτο πρὸς τοὺς Ἀθηναίους, ὡς οὐκ
he-would-accuse and would-falsely-charge to the Athenians that not
ἀγνοοῦντες, ἀλλὰ χρήμασι πεισθέντες ἐξ ἀρχῆς, ἀναλάβοιεν
being-ignorant but by-money persuaded from beginning they-took-up
αὐτόν, οὕτως ἀναγκάσειε παραπλεῦσαι καὶ λαβέσθαι τῆς
him thus he-compelled to-sail-along and to-reach —
Ἀσίας. τῶν δὲ χρημάτων αὐτῷ πολλὰ μὲν ὑπεκκλαπέντα
Asia of-the and money to-him much indeed having-been-stolen-away
διὰ τῶν φίλων εἰς Ἀσίαν ἔπλει· τῶν δὲ φανερῶν
through the friends to Asia sailed of-the and visible
γενομένων καὶ συναχθέντων εἰς τὸ δημόσιον Θεόπομπος
having-become and having-been-gathered into the public-treasury Theopompus
μὲν ἑκατὸν τάλαντα, Θεόφραστος δὲ ὀγδοήκοντά φησι
indeed a-hundred talents Theophrastus and eighty says
γενέσθαι τὸ πλῆθος, οὐδὲ τριῶν ἄξια ταλάντων κεκτημένου
to-have-been the amount not-even three worth talents possessing
τοῦ Θεμιστοκλέους πρὶν ἅπτεσθαι τῆς πολιτείας.
— Themistocles before to-engage in-the politics

26 Ἐπεὶ δὲ κατέπλευσεν εἰς Κύμην καὶ πολλοὺς ᾔσθετο τῶν
when and he-put-in to Cyme and many perceived of-those
ἐπὶ θαλάττῃ παραφυλάττοντας αὐτὸν λαβεῖν, μάλιστα δὲ
on sea watching him to-take most and
τοὺς περὶ Ἐργοτέλη καὶ Πυθόδωρον (ἦν γὰρ ἡ θήρα
those around Ergoteles and Pythodorus was for the hunt
λυσιτελὴς τοῖς τὸ κερδαίνειν ἀπὸ παντὸς ἀγαπῶσι,
profitable for-those the to-gain from every-source loving
διακοσίων ἐπικεκηρυγμένων αὐτῷ ταλάντων ὑπὸ τοῦ
two-hundred having-been-proclaimed for-him talents by the
βασιλέως), ἔφυγεν εἰς Αἰγάς, Αἰολικὸν πολισμάτιον, ὑπὸ
king he-fled to Aegae an-Aeolic small-town by

πάντων ἀγνοούμενος πλὴν τοῦ ξένου Νικογένους, ὃς
all unknown except the host Nicogenes who
Αἰολέων πλείστην οὐσίαν ἐκέκτητο καὶ τοῖς ἄνω δυνατοῖς
of-Aeolians most property had-acquired and to-the inland powerful-men
γνώριμος ὑπῆρχε. παρὰ τούτῳ κρυπτόμενος ἡμέρας ὀλίγας
known was with this-man hiding days few
διέτριψεν· εἶτα μετὰ τὸ δεῖπνον ἐκ θυσίας τινὸς Ὄλβιος
he-spent then after the dinner from a-sacrifice certain Olbius
ὁ τῶν τέκνων τοῦ Νικογένους παιδαγωγὸς ἔκφρων
the of-the children — of-Nicogenes tutor out-of-his-mind
γενόμενος καὶ θεοφόρητος ἀνεφώνησεν ἐν μέτρῳ ταυτί·
having-become and god-inspired cried-out in meter these-things

Νυκτὶ φωνήν, νυκτὶ βουλήν, νυκτὶ τὴν νίκην δίδου.
by-night voice by-night counsel by-night the victory give

Καὶ μετὰ ταῦτα κοιμηθεὶς ὁ Θεμιστοκλῆς ὄναρ ἔδοξεν
and after these-things having-gone-to-sleep — Themistocles in-a-dream seemed
ἰδεῖν δράκοντα κατὰ τῆς γαστρὸς αὐτοῦ περιελιττόμενον
to-see a-serpent along the belly his coiling
καὶ προσανέρποντα τῷ τραχήλῳ· γενόμενον δ' ἀετόν,
and creeping-up to-the neck having-become and an-eagle
ὡς ἥψατο τοῦ προσώπου, περιβαλόντα τὰς πτέρυγας
when it-touched the face having-thrown-round the wings
ἐξᾶραι καὶ κομίζειν πολλὴν ὁδόν, εἶτα χρυσοῦ τινὸς
to-lift-him and to-carry long way then golden a-certain
κηρυκείου φανέντος, ἐπὶ τούτου στῆσαι βεβαίως αὐτὸν
herald's-staff having-appeared on this to-set firmly him
ἀμηχάνου δείματος καὶ ταραχῆς ἀπαλλαγέντα.
from-helpless terror and confusion freed

Πέμπεται δ' οὖν ὑπὸ τοῦ Νικογένους μηχανησαμένου
he-is-sent and then by — Nicogenes having-contrived
τι τοιόνδε. τοῦ βαρβαρικοῦ γένους τὸ πολὺ καὶ μάλιστα
something like-this of-the barbarian race the most and most
τὸ Περσικὸν εἰς ζηλοτυπίαν τὴν περὶ τὰς γυναῖκας
the Persian toward jealousy the about the women
ἄγριον φύσει καὶ χαλεπόν ἐστιν. οὐ γὰρ μόνον τὰς
savage by-nature and harsh is not for only the
γαμετάς, ἀλλὰ καὶ τὰς ἀργυρωνήτους καὶ παλλακευομένας
wedded-wives but also the bought-with-silver and concubines
ἰσχυρῶς παραφυλάττουσιν, ὡς ὑπὸ μηδενὸς ὁρᾶσθαι τῶν
strictly they-guard so-that by no-one to-be-seen of-those
ἐκτός, ἀλλ' οἴκοι μὲν διαιτᾶσθαι κατακεκλεισμένας, ἐν
outside but at-home indeed to-live shut-up on
δὲ ταῖς ὁδοιπορίαις ὑπὸ σκηνὰς κύκλῳ περιπεφραγμένας
and the journeys under tents in-a-circle fenced-around
ἐπὶ τῶν ἁρμαμαξῶν ὀχεῖσθαι. τοιαύτης τῷ Θεμιστοκλεῖ
on the covered-wagons to-be-carried such — for-Themistocles
κατασκευασθείσης ἀπήνης καταδὺς ἐκομίζετο, τῶν περὶ
having-been-prepared carriage having-got-in he-was-carried those about
αὐτὸν ἀεὶ τοῖς ἐντυγχάνουσι καὶ πυνθανομένοις λεγόντων,
him always to-those meeting and inquiring saying
ὅτι γύναιον Ἑλληνικὸν ἄγουσιν ἀπ' Ἰωνίας πρός
that a-little-woman Greek they-are-bringing from Ionia to
τινα τῶν ἐπὶ θύραις βασιλέως.
one of-those at the-doors of-the-king

27 Θουκυδίδης μὲν οὖν καὶ Χάρων ὁ Λαμψακηνὸς ἱστοροῦσι
Thucydides indeed then and Charon the Lampsacene record
τεθνηκότος Ξέρξου πρὸς τὸν υἱὸν αὐτοῦ τῷ Θεμιστοκλεῖ
having-died Xerxes to the son his — for-Themistocles
γενέσθαι τὴν ἔντευξιν· Ἔφορος δὲ καὶ Δείνων καὶ
to-have-taken-place the interview Ephorus but and Dinon and

Κλείταρχος καὶ Ἡρακλείδης, ἔτι δ' ἄλλοι πλείονες, πρὸς
Cleitarchus and Heracleides still and others more to
αὐτὸν ἀφικέσθαι τὸν Ξέρξην. τοῖς δὲ χρονικοῖς δοκεῖ
himself to-have-come — Xerxes with-the and chronologies seems
μᾶλλον ὁ Θουκυδίδης συμφέρεσθαι, καίπερ οὐδ' αὐτοῖς
rather — Thucydides to-agree though not-even with-them
ἀτρέμα συνταττομένοις. ὁ δ' οὖν Θεμιστοκλῆς γενόμενος
steadily being-arranged — and then Themistocles having-come
παρ' αὐτὸ τὸ δεινὸν ἐντυγχάνει πρῶτον Ἀρταβάνῳ τῷ
to the-very the danger meets first Artabanus the
χιλιάρχῳ λέγων, Ἕλλην μὲν εἶναι, βούλεσθαι δ' ἐντυχεῖν
chiliarch saying a-Greek indeed to-be to-wish and to-meet
βασιλεῖ περὶ μεγίστων πραγμάτων καὶ πρὸς ἃ τυγχάνει
with-the-king about greatest affairs and toward which happens
μάλιστα σπουδάζων ἐκεῖνος. ὁ δέ φησιν· "Ὦ ξένε, νόμοι
most being-eager he he and says O stranger laws
διαφέρουσιν ἀνθρώπων· ἄλλα δ' ἄλλοις καλά· καλὸν δὲ
differ of-men other-things and to-others fair fair and
πᾶσι τὰ οἰκεῖα κοσμεῖν καὶ σώζειν. ὑμᾶς μὲν οὖν ἐλευθερίαν
for-all the own-things to-honor and to-preserve you indeed then freedom
μάλιστα θαυμάζειν καὶ ἰσότητα λόγος· ἡμῖν δὲ πολλῶν
most to-admire and equality report to-us and many
νόμων καὶ καλῶν ὄντων κάλλιστος οὗτός ἐστι, τιμᾶν
laws and fair being fairest this is to-honor
βασιλέα, καὶ προσκυνεῖν ὡς εἰκόνα θεοῦ τοῦ τὰ πάντα
the-king and to-do-obeisance as an-image of-the-god the the all-things
σώζοντος. εἰ μὲν οὖν ἐπαινῶν τὰ ἡμέτερα προσκυνήσεις,
preserving if indeed then praising the our-ways you-will-do-obeisance
ἔστι σοι καὶ θεάσασθαι βασιλέα καὶ προσειπεῖν· εἰ
it-is-possible for-you both to-behold the-king and to-address if
δ' ἄλλο τι φρονεῖς, ἀγγέλοις ἑτέροις χρήσῃ πρὸς
but other something you-think messengers other you-will-use toward

αὐτόν. βασιλεῖ γὰρ οὐ πάτριον ἀνδρὸς ἀκροᾶσθαι μὴ
him to-the-king for not ancestral of-a-man to-listen not
προσκυνήσαντος." ταῦτα ὁ Θεμιστοκλῆς ἀκούσας λέγει
having-done-obeisance these-things — Themistocles having-heard says
πρὸς αὐτόν· "Ἀλλ' ἔγωγε τὴν βασιλέως, ὦ Ἀρτάβανε,
to him but I the of-the-king O Artabanus
φήμην καὶ δύναμιν αὐξήσων ἀφῖγμαι, καὶ αὐτός τε
fame and power going-to-increase have-come and myself both
πείσομαι τοῖς ὑμετέροις νόμοις, ἐπεὶ θεῷ τῷ μεγαλύνοντι
will-obey to-the your laws since to-the-god the magnifying
Πέρσας οὕτω δοκεῖ, καὶ δι' ἐμὲ πλείονες τῶν νῦν βασιλέα
Persians thus it-seems and because-of me more of-the now the-king
προσκυνήσουσιν. ὥστε τοῦτο μηδὲν ἐμποδὼν ἔστω τοῖς
will-do-obeisance so-that this nothing in-the-way let-be to-the
λόγοις, οὓς βούλομαι πρὸς ἐκεῖνον εἰπεῖν." "Τίνα δ'," εἶπεν ὁ
words which I-wish to him to-say whom and said —
Ἀρτάβανος, "Ἑλλήνων ἀφῖχθαί σε φῶμεν; οὐ γὰρ ἰδιώτῃ
Artabanus of-Greeks to-have-come you shall-we-say not for a-commoner
τὴν γνώμην ἔοικας." καὶ ὁ Θεμιστοκλῆς· "Τοῦτ' οὐκέτ'
in-the mind you-seem and — Themistocles this no-longer
ἄν," ἔφη, "πύθοιτό τις, Ἀρτάβανε, πρότερος βασιλέως."
— said would-learn anyone Artabanus sooner than-the-king
Οὕτω μὲν ὁ Φανίας φησίν. ὁ δ' Ἐρατοσθένης ἐν τοῖς
thus indeed — Phanias says — and Eratosthenes in his
Περὶ πλούτου προσιστόρησε, διὰ γυναικὸς Ἐρετρικῆς,
On wealth added-in-his-account through a-woman Eretrian
ἣν ὁ χιλίαρχος εἶχε, τῷ Θεμιστοκλεῖ τὴν πρὸς αὐτὸν
whom the chiliarch had — to-Themistocles the toward him
ἔντευξιν γενέσθαι καὶ σύστασιν.
interview to-have-come-about and introduction

Ἐπεὶ δ᾽ οὖν εἰσήχθη πρὸς βασιλέα καὶ προσκυνήσας 28
when and then he-was-brought-in to the-king and having-done-obeisance
ἔστη σιωπῇ, προστάξαντος τῷ ἑρμηνεῖ τοῦ βασιλέως
stood in-silence having-ordered to-the interpreter the king
ἐρωτῆσαι, τίς ἐστι, καὶ τοῦ ἑρμηνέως ἐρωτήσαντος, εἶπεν·
to-ask who he-is and the interpreter having-asked he-said
“ Ἥκω σοι, βασιλεῦ, Θεμιστοκλῆς ὁ Ἀθηναῖος ἐγὼ φυγὰς
I-have-come to-you O-king Themistocles the Athenian I an-exile
ὑφ᾽ Ἑλλήνων διωχθείς, ᾧ πολλὰ μὲν ὀφείλουσι Πέρσαι
by Greeks driven-out to-whom many indeed owe Persians
κακά, πλείω δὲ ἀγαθὰ κωλύσαντι τὴν δίωξιν, ὅτε τῆς
evils more and goods having-prevented the pursuit when —
Ἑλλάδος ἐν ἀσφαλεῖ γενομένης παρέσχε τὰ οἴκοι σωζόμενα
Greece in safety having-come gave the at-home being-saved
χαρίσασθαί τι καὶ ὑμῖν. ἐμοὶ μὲν οὖν πάντα πρέποντα
to-gratify something also you to-me indeed then all-things befitting
ταῖς παρούσαις συμφοραῖς ἐστι, καὶ παρεσκευασμένος
to-the present misfortunes are and prepared
ἀφῖγμαι δέξασθαί τε χάριν εὐμενῶς διαλλαττομένου καὶ
I-have-come to-receive both favor graciously of-one-being-reconciled and
παραιτεῖσθαι μνησικακοῦντος ὀργήν· σὺ δὲ τοὺς ἐμοὺς
to-deprecate of-one-remembering-wrongs anger you and the my
ἐχθροὺς μάρτυρας θέμενος ὧν εὐεργέτησα Πέρσας, νῦν
enemies witnesses having-made of-what I-benefited Persians now
ἀπόχρησαι ταῖς ἐμαῖς τύχαις πρὸς ἐπίδειξιν ἀρετῆς μᾶλλον
use-up the my fortunes for display of-virtue rather
ἢ πρὸς ἀποπλήρωσιν ὀργῆς. σώσεις μὲν γὰρ ἱκέτην σόν,
than for satisfaction of-anger you-will-save indeed for a-suppliant yours
ἀπολεῖς δ᾽ Ἑλλήνων πολέμιον γενόμενον.” ταῦτ᾽ εἰπὼν
you-will-destroy and of-Greeks an-enemy having-become these-things having-said
ὁ Θεμιστοκλῆς ἐπεθείασε τῷ λόγῳ προσδιελθὼν
— Themistocles added-the-divine to-the speech having-gone-through-besides

τὴν ὄψιν, ἣν εἶδεν ἐν Νικογένους, καὶ τὸ μάντευμα τοῦ
the vision which he-saw at of-Nicogenes and the oracle of-the
Δωδωναίου Διός, ὡς κελευσθεὶς πρὸς τὸν ὁμώνυμον τοῦ
Dodonaean Zeus how having-been-bidden to the namesake of-the
θεοῦ βαδίζειν συμφρονήσειε πρὸς ἐκεῖνον ἀναπέμπεσθαι·
god to-go he-understood to that-one to-be-sent-up
μεγάλους γὰρ ἀμφοτέρους εἶναί τε καὶ λέγεσθαι βασιλέας.
great for both to-be both and to-be-called kings
Ἀκούσας δ' ὁ Πέρσης, ἐκείνῳ μὲν οὐδὲν ἀπεκρίνατο,
having-heard and the Persian to-him indeed nothing answered
καίπερ θαυμάσας τὸ φρόνημα καὶ τὴν τόλμαν αὐτοῦ·
though having-marveled-at the spirit and the daring his
μακαρίσας δὲ πρὸς τοὺς φίλους ἑαυτόν, ὡς ἐπ' εὐτυχίᾳ
having-congratulated and before the friends himself as on good-fortune
μεγίστῃ, καὶ κατευξάμενος ἀεὶ τοῖς πολεμίοις τοιαύτας
greatest and having-prayed always to-the enemies such
φρένας διδόναι τὸν Ἀριμάνιον, ὅπως ἐλαύνωσι τοὺς
minds to-give — Arimanius so-that they-may-drive-out the
ἀρίστους ἐξ ἑαυτῶν, θῦσαί τε τοῖς θεοῖς λέγεται
best from themselves to-have-sacrificed both to-the gods is-said
καὶ πρὸς πόσιν εὐθὺς τραπέσθαι καὶ νύκτωρ ὑπὸ χαρᾶς
and to drinking at-once to-have-turned and by-night from joy
διὰ μέσων τῶν ὕπνων βοῆσαι τρίς· "Ἔχω
through the-middle-of the sleep to-have-shouted three-times I-have
Θεμιστοκλέα τὸν Ἀθηναῖον."
Themistocles the Athenian

The king pays Themistocles the two hundred talents set on his head. Likening speech to an embroidered carpet, he learns Persian within a year, and is given Magnesia, Lampsacus, and Myus. Warned by the Mother of the Gods in a dream, he escapes Epixyes' Pisidians. When Egypt revolts and Cimon rules the sea, the king calls on him to fight the Greeks; he sacrifices and drinks bull's blood or poison, at sixty-five. His children, his tomb, and the honors still paid his descendants at Magnesia are recorded.

Ἅμα δ' ἡμέρᾳ συγκαλέσας τοὺς φίλους εἰσῆγεν 29
together-with and day having-called-together the friends he-brought-in
αὐτὸν οὐδὲν ἐλπίζοντα χρηστὸν ἐξ ὧν ἑώρα τοὺς ἐπὶ
him nothing expecting good from what he-saw those at
θύραις, ὡς ἐπύθοντο τοὔνομα παρόντος αὐτοῦ, χαλεπῶς
the-doors when they-learned the-name being-present him hostilely
διακειμένους καὶ κακῶς λέγοντας. ἔτι δὲ Ῥωξάνης ὁ
disposed and badly speaking further and Roxanes the
χιλίαρχος, ὡς κατ' αὐτὸν ἦν ὁ Θεμιστοκλῆς προσιών,
chiliarch as opposite him was — Themistocles approaching
καθημένου βασιλέως καὶ τῶν ἄλλων σιωπώντων, ἀτρέμα
sitting the-king and the others being-silent quietly
στενάξας εἶπεν· "Ὄφις Ἕλλην ὁ ποικίλος, ὁ βασιλέως
having-groaned said serpent Greek the wily the of-the-king
σε δαίμων δεῦρο ἤγαγεν." οὐ μὴν ἀλλ' εἰς ὄψιν ἐλθόντος
you spirit hither has-brought not indeed but into sight having-come
αὐτοῦ καὶ πάλιν προσκυνήσαντος, ἀσπασάμενος καὶ
he and again having-done-obeisance having-greeted and
προσειπὼν φιλοφρόνως ὁ βασιλεύς, ἤδη μὲν ἔφησεν
having-addressed kindly the king already indeed he-said
αὐτῷ διακόσια τάλαντα ὀφείλειν· κομίσαντα γὰρ αὑτὸν
to-him two-hundred talents to-owe having-brought for himself

ἀπολήψεσθαι δικαίως τὸ ἐπικηρυχθὲν τῷ ἀγαγόντι· πολλῷ
to-receive justly the reward-proclaimed for-the one-bringing much
δὲ πλείω τούτων ὑπισχνεῖτο καὶ παρεθάρρυνε καὶ λέγειν
and more than-these he-promised and encouraged and to-speak
ἐδίδου περὶ τῶν Ἑλληνικῶν, ἃ βούλοιτο, παρρησιαζόμενον.
granted about the Greek-affairs what he-might-wish speaking-freely
Ὁ δὲ Θεμιστοκλῆς ἀπεκρίνατο, τὸν λόγον ἐοικέναι τοῦ
— and Themistocles answered the speech to-resemble of-the
ἀνθρώπου τοῖς ποικίλοις στρώμασιν· ὡς γὰρ ἐκεῖνα
man the embroidered tapestries as for those
καὶ τοῦτον ἐκτεινόμενον μὲν ἐπιδείκνυσθαι τὰ εἴδη,
also this being-spread-out indeed to-display the figures
συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν· ὅθεν αὐτῷ
being-folded-up and to-hide and to-spoil whence for-him
χρόνου δεῖν. ἐπεὶ δέ, ἡσθέντος τοῦ βασιλέως τῇ εἰκασίᾳ
of-time to-need when and being-pleased the king with-the comparison
καὶ λαμβάνειν κελεύσαντος, ἐνιαυτὸν αἰτησάμενος καὶ
and to-take having-bidden a-year having-asked-for and
τὴν Περσίδα γλῶτταν ἀποχρώντως ἐκμαθὼν ἐνετύγχανε
the Persian tongue sufficiently having-learned he-conversed
βασιλεῖ δι᾽ αὑτοῦ, τοῖς μὲν ἐκτὸς δόξαν παρέσχε
with-the-king by himself to-those indeed outside an-impression he-gave
περὶ τῶν Ἑλληνικῶν πραγμάτων διειλέχθαι, πολλῶν δὲ
about the Greek affairs to-have-talked many and
καινοτομουμένων περὶ τὴν αὐλὴν καὶ τοὺς φίλους ὑπὸ τοῦ
innovations-being-made about the court and the friends by the
βασιλέως ἐν ἐκείνῳ τῷ καιρῷ, φθόνον ἔσχε παρὰ τοῖς
king in that the time envy he-incurred among the
δυνατοῖς, ὡς καὶ κατ᾽ ἐκείνων παρρησίᾳ χρήσασθαι πρὸς
powerful as also against them free-speech to-use to
αὐτὸν ἀποτετολμηκώς. οὐδὲν γὰρ ἦσαν αἱ τιμαὶ ταῖς
him having-dared nothing for were the honors to-those

τῶν ἄλλων ἐοικυῖαι ξένων, ἀλλὰ καὶ κυνηγεσίων βασιλεῖ
of-the other like strangers but also of-hunts with-the-king
μετέσχε καὶ τῶν οἴκοι διατριβῶν, ὥστε καὶ μητρὶ τῇ
he-shared and of-the home pastimes so-that also to-mother the
βασιλέως εἰς ὄψιν ἐλθεῖν καὶ γενέσθαι συνήθης, διακοῦσαι
of-the-king into sight to-come and to-become intimate to-have-heard
δὲ καὶ τῶν μαγικῶν λόγων τοῦ βασιλέως κελεύσαντος.
and also the magian doctrines the king having-bidden
ἐπεὶ δὲ Δημάρατος ὁ Σπαρτιάτης αἰτήσασθαι δωρεὰν
when and Demaratus the Spartan to-ask a-gift
κελευσθεὶς ᾐτήσατο τὴν κίταριν, ὥσπερ οἱ βασιλεῖς,
having-been-bidden asked-for the tiara like the kings
ἐπαράμενος εἰσελάσαι διὰ Σάρδεων, Μιθροπαύστης μὲν
having-raised to-ride-in through Sardis Mithropaustes indeed
ἀνεψιὸς ὢν βασιλέως εἶπε τοῦ Δημαράτου τῆς τιάρας
cousin being of-the-king said — of-Demaratus the tiara
ἁψάμενος· "Αὕτη μὲν ἡ κίταρις οὐκ ἔχει ἐγκέφαλον, ὃν
having-touched this indeed the tiara not has a-brain which
ἐπικαλύψει· σὺ δ' οὐκ ἔσῃ Ζεὺς ἂν λάβῃς κεραυνόν·"
it-will-cover you and not will-be Zeus if you-take a-thunderbolt
ἀπωσαμένου δὲ τὸν Δημάρατον ὀργῇ διὰ τὸ αἴτημα
having-thrust-away and — Demaratus in-anger because-of the request
τοῦ βασιλέως καὶ δοκοῦντος ἀπαραιτήτως ἔχειν πρὸς
the king and seeming implacably to-be-disposed toward
αὐτόν, ὁ Θεμιστοκλῆς δεηθεὶς ἔπεισε καὶ διήλλαξε.
him — Themistocles having-begged persuaded and reconciled
Λέγεται δὲ καὶ τοὺς ὕστερον βασιλεῖς, ἐφ' ὧν μᾶλλον
it-is-said and also the later kings in whose-time more
αἱ Περσικαὶ πράξεις ταῖς Ἑλληνικαῖς ἀνεκράθησαν, ὁσάκις
the Persian affairs with-the Greek were-mixed whenever
δεηθεῖεν ἀνδρὸς Ἕλληνος, ἐπαγγέλλεσθαι καὶ γράφειν
they-needed a-man Greek to-promise and to-write

ἕκαστον, ὡς μείζων ἔσοιτο παρ᾽ αὐτῷ Θεμιστοκλέους.
each that greater he-would-be with him than-Themistocles
αὐτὸν δὲ τὸν Θεμιστοκλέα φασὶν ἤδη μέγαν ὄντα καὶ
himself and — Themistocles they-say already great being and
θεραπευόμενον ὑπὸ πολλῶν λαμπρᾶς ποτε τραπέζης αὐτῷ
courted by many splendid once a-table for-him
παρατεθείσης πρὸς τοὺς παῖδας εἰπεῖν· “Ὦ παῖδες,
being-set to the children to-have-said O children
ἀπωλόμεθα ἄν, εἰ μὴ ἀπωλόμεθα.” πόλεις δ᾽ αὐτῷ τρεῖς
we-would-have-perished — if not we-had-perished cities and to-him three
μὲν οἱ πλεῖστοι δοθῆναι λέγουσιν εἰς ἄρτον καὶ οἶνον
indeed the most to-have-been-given say for bread and wine
καὶ ὄψον, Μαγνησίαν καὶ Λάμψακον καὶ Μυοῦντα· δύο
and relish Magnesia and Lampsacus and Myus two
δ᾽ ἄλλας προστίθησιν ὁ Κυζικηνὸς Νεάνθης καὶ Φανίας,
and others adds the Cyzicene Neanthes and Phanias
Περκώτην καὶ Παλαίσκηψιν εἰς στρωμνὴν καὶ ἀμπεχόνην.
Percote and Palaescepsis for bedding and clothing
30 Καταβαίνοντι δ᾽ αὐτῷ πρὸς τὰς Ἑλληνικὰς πράξεις
going-down and him toward the Greek affairs
ἐπὶ θάλατταν Πέρσης ἀνὴρ Ἐπιξύης ὄνομα, σατραπεύων
to sea a-Persian man Epixyes by-name being-satrap
τῆς ἄνω Φρυγίας, ἐπεβούλευσε, παρεσκευακὼς ἔκπαλαι
of-the upper Phrygia plotted having-prepared long-before
Πισίδας τινὰς ἀποκτενοῦντας, ὅταν ἐν τῇ καλουμένῃ κώμῃ
Pisidians some to-kill-him when in the called village
Λεοντοκεφάλῳ γενόμενος καταυλισθῇ. τῷ δὲ λέγεται
Lion's-head having-come he-should-encamp to-him and it-is-said
καθεύδοντι μεσημβρίας τὴν μητέρα τῶν θεῶν ὄναρ
sleeping at-midday the mother of-the gods in-a-dream
φανεῖσαν εἰπεῖν· “Ὦ Θεμιστόκλεις, ὑστέρει κεφαλῆς
having-appeared to-have-said O Themistocles keep-away from-head

λεόντων, ἵνα μὴ λέοντι περιπέσῃς. ἐγὼ δὲ ἀντὶ
of-lions so-that not on-a-lion you-fall I and in-return-for
τούτου σε αἰτῶ θεράπαιναν Μνησιπτολέμαν." διαταραχθεὶς
this you ask as-servant Mnesiptolema greatly-troubled
οὖν ὁ Θεμιστοκλῆς προσευξάμενος τῇ θεῷ τὴν μὲν
then — Themistocles having-prayed to-the goddess the indeed
λεωφόρον ἀφῆκεν, ἑτέρᾳ δὲ περιελθὼν καὶ παραλλάξας
highway he-left by-another and having-gone-round and having-passed-by
τὸν τόπον ἐκεῖνον ἤδη νυκτὸς οὔσης κατηυλίσατο.
the place that already night being he-encamped
Τῶν δὲ τὴν σκηνὴν κομιζόντων ὑποζυγίων ἑνὸς εἰς τὸν
of-the and the tent carrying beasts-of-burden one into the
ποταμὸν ἐμπεσόντος, οἱ τοῦ Θεμιστοκλέους οἰκέται τὰς
river having-fallen the — of-Themistocles servants the
αὐλαίας διαβρόχους γενομένας ἐκπετάσαντες ἀνέψυχον. οἱ
curtains soaked having-become having-spread-out were-drying the
δὲ Πισίδαι τὰ ξίφη λαβόντες ἐν τούτῳ προσεφέροντο,
and Pisidians the swords having-taken in this rushed-on
καὶ τὰ ψυχόμενα πρὸς τὴν σελήνην οὐκ ἀκριβῶς
and the things-drying toward the moon not accurately
ἰδόντες ᾠήθησαν εἶναι τὴν σκηνὴν τὴν Θεμιστοκλέους
having-seen thought to-be the tent the of-Themistocles
κἀκεῖνον ἔνδον εὑρήσειν ἀναπαυόμενον. ὡς δ' ἐγγὺς
and-him inside to-find resting when and near
γενόμενοι τὴν αὐλαίαν ἀνέστελλον, ἐπιπίπτουσιν αὐτοῖς
having-come the curtain they-lifted fall-upon them
οἱ παραφυλάσσοντες καὶ συλλαμβάνουσι. διαφυγὼν δὲ
those keeping-watch and seize having-escaped and
τὸν κίνδυνον οὕτω καὶ θαυμάσας τὴν ἐπιφάνειαν τῆς
the danger thus and having-marveled-at the epiphany of-the

θεοῦ ναὸν κατεσκεύασεν ἐν Μαγνησίᾳ Δινδυμήνης καὶ
goddess a-temple he-built in Magnesia of-Dindymene and
τὴν θυγατέρα Μνησιπτολέμαν ἱέρειαν ἀπέδειξεν.
the daughter Mnesiptolema priestess he-appointed

31 Ὡς δ' ἦλθεν εἰς Σάρδεις καὶ σχολὴν ἄγων ἐθεᾶτο τῶν ἱερῶν
when and he-came to Sardis and leisure having he-viewed of-the temples
τὴν κατασκευὴν καὶ τῶν ἀναθημάτων τὸ πλῆθος, εἶδε δὲ
the furnishing and of-the dedications the number he-saw and
ἐν μητρὸς ἱερῷ τὴν καλουμένην ὑδροφόρον κόρην χαλκῆν,
in of-the-mother temple the called water-carrier maiden of-bronze
μέγεθος δίπηχυν, ἣν αὐτὸς ὅτε τῶν Ἀθήνησιν ὑδάτων
in-size two-cubits which he-himself when of-the at-Athens waters
ἐπιστάτης ἦν, ἑλὼν τοὺς ὑφαιρουμένους τὸ ὕδωρ
superintendent he-was having-convicted those stealing the water
καὶ παροχετεύοντας, ἀνέθηκεν ἐκ τῆς ζημίας ποιησάμενος,
and diverting dedicated from the fine having-made
εἴτε δὴ παθών τι πρὸς τὴν αἰχμαλωσίαν τοῦ
whether indeed having-felt something at the captivity of-the
ἀναθήματος εἴτε βουλόμενος ἐνδείξασθαι τοῖς Ἀθηναίοις,
dedication or wishing to-show to-the Athenians
ὅσην ἔχει τιμὴν καὶ δύναμιν ἐν τοῖς βασιλέως πράγμασι,
how-much he-has honor and power in the of-the-king affairs
λόγον τῷ Λυδίας σατράπῃ προσήνεγκεν αἰτούμενος
speech to-the of-Lydia satrap he-addressed asking
ἀποστεῖλαι τὴν κόρην εἰς τὰς Ἀθήνας. χαλεπαίνοντος δὲ
to-send the maiden to — Athens being-angry and
τοῦ βαρβάρου καὶ βασιλεῖ γράψειν φήσαντος ἐπιστολήν,
the barbarian and to-the-king to-write saying a-letter
φοβηθεὶς ὁ Θεμιστοκλῆς εἰς τὴν γυναικωνῖτιν κατέφυγε
having-feared — Themistocles to the women's-quarters fled
καὶ τὰς παλλακίδας αὐτοῦ θεραπεύσας χρήμασιν ἐκεῖνόν
and the concubines his having-courted with-money him

τε κατεπράϋνε τῆς ὀργῆς καὶ πρὸς τὰ ἄλλα παρεῖχεν
both he-pacified from-the anger and toward the other-things he-showed
ἑαυτὸν εὐλαβέστερον, ἤδη καὶ τὸν φθόνον τῶν βαρβάρων
himself more-cautious henceforth also the envy of-the barbarians
δεδοικώς. οὐ γὰρ πλανώμενος περὶ τὴν Ἀσίαν, ὥς φησι
fearing not for wandering about — Asia as says
Θεόπομπος, ἀλλ' ἐν Μαγνησίᾳ μὲν οἰκῶν, καρπούμενος
Theopompus but in Magnesia indeed dwelling enjoying
δὲ δωρεὰς μεγάλας καὶ τιμώμενος ὅμοια Περσῶν τοῖς
and gifts great and being-honored equally of-Persians with-the
ἀρίστοις, ἐπὶ πολὺν χρόνον ἀδεῶς διῆγεν, οὐ πάνυ τι
best for long time fearlessly he-lived not very at-all
τοῖς Ἑλληνικοῖς πράγμασι βασιλέως προσέχοντος ὑπ'
to-the Greek affairs the-king attending through
ἀσχολιῶν περὶ τὰς ἄνω πράξεις.
occupations about the upper affairs
Ὡς δ' Αἴγυπτός τε ἀφισταμένη βοηθούντων Ἀθηναίων καὶ
when and Egypt both revolting helping Athenians and
τριήρεις Ἑλληνικαὶ μέχρι Κύπρου καὶ Κιλικίας ἀναπλέουσαι
triremes Greek as-far-as Cyprus and Cilicia sailing-up
καὶ Κίμων θαλαττοκρατῶν ἐπέστρεψεν αὐτὸν ἀντεπιχειρεῖν
and Cimon ruling-the-sea turned him to-counterattack
τοῖς Ἕλλησι καὶ κωλύειν αὐξανομένους ἐπ' αὐτόν, ἤδη
the Greeks and to-check growing against him already
δὲ καὶ δυνάμεις ἐκινοῦντο καὶ στρατηγοὶ διεπέμποντο καὶ
and also forces were-being-moved and generals were-sent-about and
κατέβαινον ἀγγελίαι πρὸς Θεμιστοκλέα, τῶν Ἑλληνικῶν
came-down messages to Themistocles the Greek-affairs
ἐξάπτεσθαι κελεύοντος βασιλέως καὶ βεβαιοῦν τὰς
to-take-in-hand bidding the-king and to-make-good the
ὑποσχέσεις, οὔτε δι' ὀργήν τινα παροξυνθεὶς κατὰ τῶν
promises neither through anger any provoked against the

πολιτῶν οὔτε ἐπαρθεὶς τιμῇ τοσαύτῃ καὶ δυνάμει πρὸς τὸν
citizens nor elated by-honor so-great and power toward the
πόλεμον, ἀλλ' ἴσως μὲν οὐδ' ἐφικτὸν ἡγούμενος τὸ ἔργον,
war but perhaps indeed not-even attainable thinking the task
ἄλλους τε μεγάλους τῆς Ἑλλάδος ἐχούσης στρατηγοὺς τότε
others both great — Greece having generals then
καὶ Κίμωνος ὑπερφυῶς εὐημεροῦντος ἐν τοῖς πολεμικοῖς,
and Cimon extraordinarily prospering in the warlike-affairs
τὸ δὲ πλεῖστον αἰδοῖ τῆς τε δόξης τῶν πράξεων τῶν
the and most from-respect for-the both fame of-the deeds the
ἑαυτοῦ καὶ τῶν τροπαίων ἐκείνων, ἄριστα βουλευσάμενος
his-own and of-the trophies those best having-resolved
ἐπιθεῖναι τῷ βίῳ τὴν τελευτὴν πρέπουσαν, ἔθυσε τοῖς
to-put to-the life the end fitting he-sacrificed to-the
θεοῖς, καὶ τοὺς φίλους συναγαγὼν καὶ δεξιωσάμενος, ὡς
gods and the friends having-gathered and having-taken-leave as
μὲν ὁ πολὺς λόγος, αἷμα ταύρειον πιών, ὡς δ'
indeed the general story blood of-bull having-drunk as and
ἔνιοι, φάρμακον ἐφήμερον προσενεγκάμενος, ἐν Μαγνησίᾳ
some poison quick-acting having-taken in Magnesia
κατέστρεψε πέντε πρὸς τοῖς ἑξήκοντα βεβιωκὼς ἔτη καὶ
he-ended five besides the sixty having-lived years and
τὰ πλεῖστα τούτων ἐν πολιτείαις καὶ ἡγεμονίαις. τὴν δ'
the most of-these in political-life and commands the and
αἰτίαν τοῦ θανάτου καὶ τὸν τρόπον πυθόμενον βασιλέα
cause of-the death and the manner having-learned the-king
λέγουσιν ἔτι μᾶλλον θαυμάσαι τὸν ἄνδρα καὶ τοῖς φίλοις
they-say still more to-have-admired the man and to-the friends
αὐτοῦ καὶ οἰκείοις χρώμενον διατελεῖν φιλανθρώπως.
his and household treating to-have-continued kindly

Ἀπέλιπε δὲ Θεμιστοκλῆς παῖδας ἐκ μὲν Ἀρχίππης τῆς 32
left and Themistocles children from indeed Archippe the
Λυσάνδρου τοῦ Ἀλωπεκῆθεν Ἀρχέπτολιν καὶ Πολύευκτον
of-Lysander — of-Alopece Archeptolis and Polyeuctus
καὶ Κλεόφαντον, οὗ καὶ Πλάτων ὁ φιλόσοφος ὡς
and Cleophantus of-whom also Plato the philosopher as
ἱππέως ἀρίστου, τἆλλα δ' οὐδενὸς ἀξίου γενομένου
of-a-horseman most-excellent in-other-things and of-nothing worth having-been
μνημονεύει. τῶν δὲ πρεσβυτάτων Νεοκλῆς μὲν ἔτι παῖς
makes-mention of-the and eldest Neocles indeed still a-child
ὢν ὑφ' ἵππου δηχθεὶς ἀπέθανε, Διοκλέα δὲ Λύσανδρος
being by a-horse having-been-bitten died Diocles and Lysander
ὁ πάππος υἱὸν ἐποιήσατο. θυγατέρας δὲ πλείους
the grandfather son made daughters and several
ἔσχεν, ὧν Μνησιπτολέμαν μὲν ἐκ τῆς ἐπιγαμηθείσης
he-had of-whom Mnesiptolema indeed from the later-married-wife
γενομένην Ἀρχέπτολις ὁ ἀδελφὸς οὐκ ὢν ὁμομήτριος
born Archeptolis the brother not being of-the-same-mother
ἔγημεν, Ἰταλίαν δὲ Πανθοίδης ὁ Χῖος, Σύβαριν δὲ
married Italia and Panthoides the Chian Sybaris and
Νικομήδης ὁ Ἀθηναῖος· Νικομάχην δὲ Φρασικλῆς ὁ
Nicomedes the Athenian Nicomache and Phrasicles the
ἀδελφιδοῦς Θεμιστοκλέους, ἤδη τετελευτηκότος ἐκείνου,
nephew of-Themistocles already having-died him
πλεύσας εἰς Μαγνησίαν ἔλαβε παρὰ τῶν ἀδελφῶν,
having-sailed to Magnesia received from the brothers
νεωτάτην δὲ πάντων τῶν τέκνων Ἀσίαν ἔθρεψε.
youngest and of-all the children Asia he-reared
Καὶ τάφον μὲν αὐτοῦ λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες
and tomb indeed his splendid in the market-place Magnesians
ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν
have about and the remains neither to-Andocides to-attend

ἄξιον ἐν τῷ Πρὸς τοὺς ἑταίρους λέγοντι, φωράσαντας τὰ
worth in the To the companions saying having-detected the
λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους (ψεύδεται γὰρ ἐπὶ
remains to-have-scattered the Athenians he-lies for against
τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς), ὅ τε Φύλαρχος,
the people inciting the oligarchs — and Phylarchus
ὥσπερ ἐν τραγῳδίᾳ τῇ ἱστορίᾳ μονονοὺ μηχανὴν ἄρας
as-if in tragedy in-the history all-but machine having-raised
καὶ προαγαγὼν Νεοκλέα τινὰ καὶ Δημόπολιν, υἱοὺς
and having-brought-forward Neocles a-certain and Demopolis sons
Θεμιστοκλέους, ἀγῶνα βούλεται κινεῖν καὶ πάθος, ὃ οὐδ'
of-Themistocles a-struggle wishes to-stir-up and pathos which not-even
ἂν ὁ τυχὼν ἀγνοήσειεν ὅτι πέπλασται. Διόδωρος δ'
— the chance-comer would-fail-to-know that it-has-been-fabricated Diodorus and
ὁ περιηγητὴς ἐν τοῖς Περὶ μνημάτων εἴρηκεν ὡς ὑπονοῶν
the topographer in his On tombs has-said as suspecting
μᾶλλον ἢ γινώσκων, ὅτι περὶ τὸν μέγαν λιμένα τοῦ
rather than knowing that about the great harbor —
Πειραιῶς ἀπὸ τοῦ κατὰ τὸν Ἄλκιμον ἀκρωτηρίου πρόκειταί
of-Piraeus from the at — Alcimus promontory projects
τις οἷον ἀγκών, καὶ κάμψαντι τοῦτον ἐντός, ᾗ
some as-it-were an-elbow and to-one-having-rounded this inside where
τὸ ὑπεύδιον τῆς θαλάττης, κρηπίς ἐστιν εὐμεγέθης καὶ
the calm of-the sea a-foundation is large and

τὸ περὶ αὐτὴν βωμοειδὲς τάφος τοῦ Θεμιστοκλέους. οἴεται
the about it altar-like-thing tomb — of-Themistocles thinks
δὲ καὶ Πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν ἐν τούτοις·
and also Plato the comic-poet to-him to-bear-witness in these-words

Ὁ σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος
the your and tomb in a-fair-place heaped-up
τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ,
to-the merchants a-greeting will-be everywhere
τούς τ' ἐκπλέοντας εἰσπλέοντάς τ' ὄψεται,
those both sailing-out sailing-in and will-see
χὠπόταν ἅμιλλα τῶν νεῶν θεάσεται.
and-whenever a-race of-the ships it-will-behold

Τοῖς δ' ἀπὸ γένους τοῦ Θεμιστοκλέους καὶ τιμαί τινες
to-those and from family — of-Themistocles also honors some
ἐν Μαγνησίᾳ φυλαττόμεναι μέχρι τῶν ἡμετέρων χρόνων
in Magnesia kept-up until the our times
ἦσαν, ἃς ἐκαρποῦτο Θεμιστοκλῆς Ἀθηναῖος, ἡμέτερος
were which enjoyed Themistocles an-Athenian our
συνήθης καὶ φίλος παρ' Ἀμμωνίῳ τῷ φιλοσόφῳ γενόμενος.
intimate and friend at Ammonius the philosopher having-been

PLUTARCH

ΑΡΙΣΤΕΙΔΗΣ

Aristides

I · THE POOR MAN AND THE RIVAL

Aristides, son of Lysimachus, is called poor, though Demetrius of Phalerum argues for an estate, an archonship, and a choregic tripod, weak proof when Epaminondas and Plato paid for choruses with friends' money. A friend of Cleisthenes and admirer of Lycurgus, he is at odds with Themistocles from boyhood, over the youth Stesilaus of Ceos and then in every measure, once saying Athens is safe only if both are thrown into the pit. Aeschylus' line on Amphiaraus is applied to him; convicted as treasurer by Themistocles' faction, he is re-elected and exposes the thieves.

Ἀριστείδης ὁ Λυσιμάχου φυλῆς μὲν ἦν Ἀντιοχίδος, τῶν δὲ 1
Aristides the of-Lysimachus of-tribe indeed was of-Antiochis of-the and
δήμων Ἀλωπεκῆθεν. περὶ δ' οὐσίας αὐτοῦ λόγοι διάφοροι
demes of-Alopece about and property his accounts differing
γεγόνασιν, οἱ μὲν ὡς ἐν πενίᾳ συντόνῳ καταβιώσαντος καὶ
have-arisen the some that in poverty strained having-lived-out and
μετὰ τὴν τελευτὴν ἀπολιπόντος θυγατέρας δύο πολὺν χρόνον
after the death having-left daughters two long time
ἀνεκδότους δι' ἀπορίαν γενομένας· πρὸς δὲ τοῦτον τὸν
unmarried through want having-been against and this the
λόγον ὑπὸ πολλῶν εἰρημένον ἀντιτασσόμενος ὁ Φαληρεὺς
account by many said opposing the Phalerean
Δημήτριος ἐν τῷ Σωκράτει χωρίον Φαληροῖ φησι γινώσκειν
Demetrius in his Socrates an-estate at-Phalerum he-says to-know
Ἀριστείδου γενόμενον, ἐν ᾧ τέθαπται, καὶ τεκμήρια τῆς
of-Aristides having-been in which he-has-been-buried and proofs of-the
περὶ τὸν οἶκον εὐπορίας ἓν μὲν ἡγεῖται τὴν ἐπώνυμον ἀρχήν,
about the house prosperity one indeed he-thinks the eponymous office
ἣν ἦρχεν ὁ τῷ κυάμῳ λαχὼν ἐκ τῶν γενῶν τῶν
which held the-one by-the bean having-been-allotted from the families those
τὰ μέγιστα τιμήματα κεκτημένων, οὓς πεντακοσιομεδίμνους
the greatest assessments possessing whom five-hundred-bushel-men

προσηγόρευον, ἕτερον δὲ τὸν ἐξοστρακισμόν· οὐδενὶ γὰρ
they-called another and the ostracism upon-none for
τῶν πενήτων, ἀλλὰ τοῖς ἐξ οἴκων τε μεγάλων καὶ διὰ
of-the poor but on-those from houses both great and through
γένους ὄγκον ἐπιφθόνων ὄστρακον ἐπιφέρεσθαι· τρίτον
family dignity envied the-sherd to-be-cast third
δὲ καὶ τελευταῖον, ὅτι νίκης ἀναθήματα χορηγικοὺς
and also last that of-victory dedications choregic
τρίποδας ἐν Διονύσου καταλέλοιπεν, οἳ καὶ καθ' ἡμᾶς
tripods in Dionysus' he-has-left which also in our-time
ἐδείκνυντο τοιαύτην ἐπιγραφὴν διασώζοντες· "Ἀντιοχὶς
were-shown such inscription preserving Antiochis
ἐνίκα, Ἀριστείδης ἐχορήγει, Ἀρχέστρατος ἐδίδασκε."
won Aristides was-choregus Archestratus produced
Τουτὶ μὲν οὖν, καίπερ εἶναι δοκοῦν μέγιστον, ἀσθενέστατόν
this indeed then though to-be seeming greatest weakest
ἐστι. καὶ γὰρ Ἐπαμεινώνδας, ὃν πάντες ἄνθρωποι
is and for Epaminondas whom all men
γινώσκουσιν ἐν πενίᾳ καὶ τραφέντα πολλῇ καὶ βιώσαντα,
know in poverty both having-been-reared much and having-lived
καὶ Πλάτων ὁ φιλόσοφος οὐκ ἀφιλοτίμους ἀνεδέξαντο
and Plato the philosopher not unambitious undertook
χορηγίας, ὁ μὲν αὐληταῖς ἀνδράσιν, ὁ δὲ παισὶ
choregies the one for-flute-players men the other for-boys
κυκλίοις χορηγήσας, τούτῳ μὲν Δίωνος τοῦ Συρακουσίου
cyclic having-been-choregus to-this-one indeed of-Dion the Syracusan
τὴν δαπάνην παρέχοντος, Ἐπαμεινώνδᾳ δὲ τῶν περὶ
the expense providing to-Epaminondas and those about
Πελοπίδαν. οὐ γὰρ ἔστι τοῖς ἀγαθοῖς ἀκήρυκτος καὶ
Pelopidas not for there-is for-the good unproclaimed and
ἄσπονδος πρὸς τὰς παρὰ τῶν φίλων δωρεὰς πόλεμος,
truceless toward the from the friends gifts war

ἀλλὰ τὰς εἰς ἀπόθεσιν καὶ πλεονεξίαν ἀγεννεῖς ἡγούμενοι
but those for hoarding and greed ignoble considering
καὶ ταπεινάς, ὅσαι φιλοτιμίας τινὸς ἀκερδοῦς ἔχονται
and mean as-many-as to-ambition some ungainful are-attached
καὶ λαμπρότητος οὐκ ἀπωθοῦνται.
and to-splendor not they-repel
Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν
Panaetius however about the tripod shows —
Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον· ἀπὸ γὰρ τῶν
Demetrius by-identity-of-name deceived from for the
Μηδικῶν εἰς τὴν τελευτὴν τοῦ Πελοποννησιακοῦ πολέμου
Persian-wars to the end of-the Peloponnesian war
δύο μόνους Ἀριστείδας χορηγοὺς ἀναγράφεσθαι νικῶντας,
two only Aristideses choregi to-be-recorded victorious
ὧν οὐδέτερον εἶναι τῷ Λυσιμάχου τὸν αὐτόν, ἀλλὰ
of-whom neither to-be with-the of-Lysimachus the same but
τὸν μὲν Ξενοφίλου πατρός, τὸν δὲ χρόνῳ πολλῷ
the-one indeed of-Xenophilus father the other by-time much
νεώτερον, ὡς ἐλέγχει τὰ γράμματα τῆς μετ' Εὐκλείδην
younger as proves the letters of-the after Eucleides
ὄντα γραμματικῆς καὶ προσγεγραμμένος ὁ Ἀρχέστρατος,
being spelling and added-in-writing — Archestratus
ὃν ἐν τοῖς Μηδικοῖς οὐδείς, ἐν δὲ τοῖς Πελοποννησιακοῖς
whom in the Persian-wars no-one in and the Peloponnesian-wars
συχνοὶ χορῶν διδάσκαλον ἀναγράφουσι.
many of-choruses producer record
Τὸ μὲν οὖν τοῦ Παναιτίου βέλτιον ἐπισκεπτέον ὅπως ἔχει.
the indeed then — of-Panaetius better must-be-considered how it-is
τῷ δ' ὀστράκῳ πᾶς ὁ διὰ δόξαν ἢ γένος ἢ λόγου
to-the and ostracism every-one the through fame or family or of-speech
δύναμιν ὑπὲρ τοὺς πολλοὺς νομιζόμενος ὑπέπιπτεν· ὅπου
power beyond the many being-thought fell-under where

καὶ Δάμων ὁ Περικλέους διδάσκαλος, ὅτι τὸ φρονεῖν
also Damon the of-Pericles teacher because the in-intellect
ἐδόκει τις εἶναι περιττός, ἐξωστρακίσθη. καὶ μὴν
he-seemed somehow to-be extraordinary was-ostracized and indeed
ἄρξαι γε τὸν Ἀριστείδην ὁ Ἰδομενεὺς οὐ κυαμευτόν,
to-have-held-office at-least — Aristides — Idomeneus not by-bean-lot
ἀλλ' ἑλομένων Ἀθηναίων φησίν. εἰ δὲ καὶ μετὰ τὴν ἐν
but having-chosen Athenians says if and also after the at
Πλαταιαῖς μάχην ἦρξεν, ὡς αὐτὸς ὁ Δημήτριος γέγραφε,
Plataea battle he-held-office as himself — Demetrius has-written
καὶ πάνυ πιθανόν ἐστιν ἐπὶ δόξῃ τοσαύτῃ καὶ κατορθώμασι
also very plausible it-is upon glory so-great and successes
τηλικούτοις ἀξιωθῆναι δι' ἀρετὴν ἧς διὰ
so-great to-have-been-deemed-worthy through virtue which through
πλοῦτον ἐτύγχανον οἱ λαγχάνοντες. ἀλλὰ γὰρ ὁ μὲν
wealth obtained those being-allotted but for — indeed
Δημήτριος οὐ μόνον Ἀριστείδην, ἀλλὰ καὶ Σωκράτην δῆλός
Demetrius not only Aristides but also Socrates clear
ἐστι τῆς πενίας ἐξελέσθαι φιλοτιμούμενος ὡς μεγάλου
is from-the poverty to-rescue striving as-from great
κακοῦ· καὶ γὰρ ἐκείνῳ φησὶν οὐ μόνον τὴν οἰκίαν ὑπάρχειν,
evil and for to-that-one he-says not only the house to-belong
ἀλλὰ καὶ μνᾶς ἑβδομήκοντα τοκιζομένας ὑπὸ Κρίτωνος.
but also minas seventy lent-at-interest by Crito

2 Ἀριστείδης δὲ Κλεισθένους μὲν τοῦ καταστησαμένου
Aristides and of-Cleisthenes indeed the having-established
τὴν πολιτείαν μετὰ τοὺς τυράννους ἑταῖρος γενόμενος,
the constitution after the tyrants a-companion having-become
ζηλώσας δὲ καὶ θαυμάσας μάλιστα τῶν πολιτικῶν
having-emulated and and having-admired most of-the political
ἀνδρῶν Λυκοῦργον τὸν Λακεδαιμόνιον, ἥψατο μὲν
men Lycurgus the Lacedaemonian he-laid-hold indeed

ἀριστοκρατικῆς πολιτείας, ἔσχε δ' ἀντιτασσόμενον ὑπὲρ
of-aristocratic constitution he-had and opposing on-behalf-of
τοῦ δήμου Θεμιστοκλέα τὸν Νεοκλέους. ἔνιοι μὲν οὖν φασιν
the people Themistocles the of-Neocles some indeed then say
παῖδας ὄντας αὐτοὺς καὶ συντρεφομένους ἀπ' ἀρχῆς ἐν
children being them and being-reared-together from the-beginning in
παντὶ καὶ σπουδῆς ἐχομένῳ καὶ παιδιᾶς πράγματι καὶ
every both seriousness involving and of-play matter and
λόγῳ διαφέρεσθαι πρὸς ἀλλήλους, καὶ τὰς φύσεις εὐθὺς ὑπὸ
word to-differ with one-another and the natures at-once by
τῆς φιλονεικίας ἐκείνης ἀνακαλύπτεσθαι, τὴν μὲν εὐχερῆ
the rivalry that to-be-uncovered the one easy-going
καὶ παράβολον καὶ πανοῦργον οὖσαν καὶ μετ' ὀξύτητος ἐπὶ
and reckless and unscrupulous being and with sharpness to
πάντα ῥᾳδίως φερομένην, τὴν δ' ἱδρυμένην ἐν ἤθει βεβαίῳ
everything easily carried the other settled in character steadfast
καὶ πρὸς τὸ δίκαιον ἀτενῆ, ψεῦδος δὲ καὶ βωμολοχίαν
and toward the just intent falsehood and and buffoonery
καὶ ἀπάτην οὐδ' ἐν παιδιᾶς τινι τρόπῳ προσιεμένην.
and deceit not-even in of-play some manner admitting
Ἀρίστων δ' ὁ Κεῖος ἐξ ἐρωτικῆς ἀρχῆς γενέσθαι
Ariston and the Cean from love's beginning to-have-arisen
φησὶ καὶ προελθεῖν ἐπὶ τοσοῦτον τὴν ἔχθραν αὐτῶν.
says and to-have-gone-forward to so-far the enmity of-them
Στησίλεω γάρ, ὃς ἦν γένει Κεῖος, ἰδέᾳ τε καὶ μορφῇ
with-Stesilaus for who was by-race Cean in-appearance both and form
σώματος πολὺ τῶν ἐν ὥρᾳ λαμπρότατος, ἀμφοτέρους
of-body much of-those in bloom most-splendid both
ἐρασθέντας οὐ μετρίως ἐνεγκεῖν τὸ πάθος οὐδ' ἅμα
having-fallen-in-love not moderately to-have-borne the passion nor together-with
λήγοντι τῷ κάλλει τοῦ παιδὸς ἀποθέσθαι τὴν φιλονεικίαν,
fading the beauty of-the boy to-have-laid-aside the rivalry

ἀλλ᾽ ὥσπερ ἐγγυμνασαμένους ἐκείνῃ πρὸς τὴν πολιτείαν
but as-if having-exercised in-that toward the state
εὐθὺς ὁρμῆσαι διαπύρους ὄντας καὶ διαφόρως ἔχοντας.
at-once to-have-rushed fiery being and differently disposed
Ὁ μὲν οὖν Θεμιστοκλῆς εἰς ἑταιρείαν ἐμβαλὼν ἑαυτὸν
— indeed then Themistocles into a-political-club having-thrown himself
εἶχε πρόβλημα καὶ δύναμιν οὐκ εὐκαταφρόνητον, ὥστε καὶ
had a-defense and power not contemptible so-that also
πρὸς τὸν εἰπόντα καλῶς αὐτὸν ἄρξειν Ἀθηναίων, ἄνπερ
to the-one having-said well him would-rule Athenians if-indeed
ἴσος ᾖ καὶ κοινὸς ἅπασι "Μηδέποτε," εἰπεῖν, "εἰς
fair he-be and impartial to-all never to-have-said into
τοῦτον ἐγὼ καθίσαιμι τὸν θρόνον, ἐν ᾧ πλέον οὐδὲν
this I would-sit the throne in which more nothing
ἕξουσιν οἱ φίλοι παρ᾽ ἐμοὶ τῶν ἀλλοτρίων·" Ἀριστείδης
will-have the friends with me than-the strangers Aristides
δὲ καθ᾽ ἑαυτὸν ὥσπερ ὁδὸν ἰδίαν ἐβάδιζε διὰ τῆς
and by himself as-it-were a-road his-own walked through the
πολιτείας, πρῶτον μὲν οὐ βουλόμενος συναδικεῖν τοῖς
state first indeed not wishing to-join-in-wrongdoing with-the
ἑταίροις ἢ λυπηρὸς εἶναι μὴ χαριζόμενος, ἔπειτα τὴν
companions or offensive to-be not gratifying then the
ἀπὸ τῶν φίλων δύναμιν οὐκ ὀλίγους ἰδὼν ἐπαίρουσαν
from the friends power not few having-seen inciting
ἀδικεῖν ἐφυλάττετο, μόνῳ τῷ χρηστὰ καὶ δίκαια πράττειν
to-do-wrong guarded alone in-the good and just-things to-do
καὶ λέγειν ἀξιῶν θαρρεῖν τὸν ἀγαθὸν πολίτην.
and to-say deeming-it-right to-be-confident the good citizen
3 Οὐ μὴν ἀλλά, πολλὰ κινουμένου τοῦ Θεμιστοκλέους
not indeed but many-things stirring — Themistocles
παραβόλως καὶ πρὸς πᾶσαν αὐτῷ πολιτείαν ἐνισταμένου
recklessly and against every to-him measure opposing

καὶ διακόπτοντος, ἠναγκάζετό που καὶ αὐτὸς τὰ μὲν
and thwarting he-was-compelled somehow also himself partly indeed
ἀμυνόμενος, τὰ δὲ κολούων τὴν ἐκείνου δύναμιν χάριτι
defending-himself partly and lopping the of-that-one power by-favor
τῶν πολλῶν αὐξομένην ὑπεναντιοῦσθαι οἷς ἔπραττεν
of-the many increasing to-oppose what did
ὁ Θεμιστοκλῆς, βέλτιον ἡγούμενος παρελθεῖν ἔνια τῶν
— Themistocles better thinking to-let-pass some of-the
συμφερόντων τὸν δῆμον ἢ τῷ κρατεῖν ἐκεῖνον ἐν
expedient-things the people than by-the to-prevail that-one in
πᾶσιν ἰσχυρὸν γενέσθαι. τέλος δέ ποτε τοῦ Θεμιστοκλέους
everything strong to-become finally and once — Themistocles
πράττοντός τι τῶν δεόντων ἀντικρούσας καὶ
doing something of-the necessary-things having-opposed and
περιγενόμενος οὐ κατέσχεν, ἀλλ᾽ εἶπεν ἀπὸ τῆς ἐκκλησίας
having-prevailed not he-held-back but said from the assembly
ἀπιών, ὡς οὐκ ἔστι σωτηρία τοῖς Ἀθηναίων πράγμασιν, εἰ
departing that not there-is safety for-the of-Athenians affairs if
μὴ καὶ Θεμιστοκλέα καὶ αὐτὸν εἰς τὸ βάραθρον ἐμβάλοιεν.
not both Themistocles and himself into the barathrum they-throw
πάλιν δὲ γράψας τινὰ γνώμην εἰς τὸν δῆμον, ἀντιλογίας
again and having-proposed some motion to the people opposition
οὔσης πρὸς αὐτὴν καὶ φιλονεικίας, ἐκράτει· μέλλοντος δὲ
being against it and contentiousness he-prevailed being-about and
τοῦ προέδρου τὸν δῆμον ἐπερωτᾶν αἰσθόμενος ἐκ τῶν
the president the people to-put-the-question having-perceived from the
λόγων αὐτῶν τὸ ἀσύμφορον ἀπέστη τοῦ ψηφίσματος.
speeches themselves the inexpedient-thing he-withdrew from-the decree
πολλάκις δὲ καὶ δι᾽ ἑτέρων εἰσέφερε τὰς γνώμας, ὡς
often and also through others he-introduced the motions so-that

μὴ φιλονεικίᾳ τῇ πρὸς αὐτὸν ὁ Θεμιστοκλῆς ἐμπόδιος
not by-rivalry the toward him — Themistocles obstructive
εἴη τῷ συμφέροντι.
might-be to-the advantage
Θαυμαστὴ δέ τις ἐφαίνετο αὐτοῦ παρὰ τὰς ἐν τῇ πολιτείᾳ
admirable and somehow appeared his amid the in the political-life
μεταβολὰς ἡ εὐστάθεια, μήτε ταῖς τιμαῖς ἐπαιρομένου
changes the steadiness neither by-the honors being-elated
πρός τε τὰς δυσημερίας ἀθορύβως καὶ πράως ἔχοντος,
toward and the reverses calmly and mildly being-disposed
καὶ ὁμοίως ἡγουμένου χρῆναι τῇ πατρίδι παρέχειν ἑαυτὸν
and alike thinking it-needful to-the fatherland to-offer himself
οὐ χρημάτων μόνον, ἀλλὰ καὶ δόξης προῖκα καὶ ἀμισθὶ
not of-money only but also of-glory free and without-pay
πολιτευόμενον. ὅθεν, ὡς ἔοικε, τῶν εἰς Ἀμφιάραον ὑπ᾽
engaging-in-politics whence as it-seems of-the about Amphiaraus by
Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θεάτρῳ λεγομένων·
Aeschylus composed iambics in the theater being-spoken

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ᾽ εἶναι θέλει,
not for to-seem just but to-be he-wishes
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
deep furrow through mind reaping
ἀφ᾽ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα,
from which the wise spring counsels

πάντες ἀπέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα
all looked toward Aristides as to-that-one most
τῆς ἀρετῆς ταύτης προσηκούσης.
the virtue this belonging

Οὐ μόνον δὲ πρὸς εὔνοιαν καὶ χάριν, ἀλλὰ καὶ πρὸς 4
not only and against goodwill and favor but also against
ὀργὴν καὶ πρὸς ἔχθραν ἰσχυρότατος ἦν ὑπὲρ τῶν
anger and against enmity strongest he-was on-behalf-of the
δικαίων ἀντιστῆναι. λέγεται γοῦν ποτε διώκων ἐχθρὸν
just to-stand-firm it-is-said at-any-rate once prosecuting an-enemy
ἐν δικαστηρίῳ, μετὰ τὴν κατηγορίαν οὐ βουλομένων
in a-court after the accusation not wishing
ἀκούειν τοῦ κινδυνεύοντος τῶν δικαστῶν, ἀλλὰ τὴν ψῆφον
to-hear the defendant the judges but the vote
εὐθὺς αἰτούντων ἐπ᾽ αὐτόν, ἀναπηδήσας τῷ κρινομένῳ
at-once demanding against him having-leaped-up for-the accused
συνικετεύειν, ὅπως ἀκουσθείη καὶ τύχοι τῶν νομίμων·
to-join-in-begging that he-might-be-heard and obtain the legal-rights
πάλιν δὲ κρίνων ἰδιώταις δυσί, τοῦ ἑτέρου λέγοντος, ὡς
again and judging for-private-men two the one saying that
πολλὰ τυγχάνει τὸν Ἀριστείδην ὁ ἀντίδικος λελυπηκὼς
many-things happens — Aristides the opponent having-harmed
“Λέγ᾽, ὦ ᾽γαθέ,” φάναι, “μᾶλλον, εἴ τι σὲ κακὸν πεποίηκε·
say O good-sir to-have-said rather if any you harm he-has-done
σοὶ γάρ, οὐκ ἐμαυτῷ, δικάζω.” τῶν δὲ δημοσίων
for-you for not myself I-judge of-the and public
προσόδων αἱρεθεὶς ἐπιμελητὴς οὐ μόνον τοὺς καθ᾽ αὑτόν,
revenues having-been-chosen superintendent not only those in his-time
ἀλλὰ καὶ τοὺς πρὸ αὐτοῦ γενομένους ἄρχοντας ἀπεδείκνυε
but also those before him having-been magistrates he-showed
πολλὰ νενοσφισμένους, καὶ μάλιστα τὸν Θεμιστοκλέα·
much having-embezzled and most — Themistocles

Σοφὸς γὰρ ἀνήρ, τῆς δὲ χειρὸς οὐ κρατῶν.
wise for the-man of-the but hand not mastering

Διὸ καὶ συναγαγὼν πολλοὺς ἐπὶ τὸν Ἀριστείδην ἐν ταῖς
wherefore also having-gathered many against — Aristides at the
εὐθύναις διώκων κλοπῆς καταδίκῃ περιέβαλεν, ὥς φησιν
audits prosecuting for-theft with-conviction he-involved-him as says
Ἰδομενεύς. ἀγανακτούντων δὲ τῶν πρώτων ἐν τῇ πόλει καὶ
Idomeneus being-indignant and the first in the city and
βελτίστων, οὐ μόνον ἀφείθη τῆς ζημίας, ἀλλὰ καὶ πάλιν
best not only he-was-released from-the fine but also again
ἄρχων ἐπὶ τὴν αὐτὴν διοίκησιν ἀπεδείχθη. προσποιούμενος
magistrate over the same administration was-appointed pretending
δὲ τῶν προτέρων μεταμέλειν αὐτῷ καὶ μαλακώτερον
and of-the former to-repent himself and more-softly
ἐνδιδοὺς ἑαυτόν, ἤρεσκε τοῖς τὰ κοινὰ κλέπτουσιν οὐκ
yielding himself he-pleased those the public-funds stealing not
ἐξελέγχων οὐδ' ἀκριβολογούμενος, ὥστε καταπιμπλαμένους
exposing nor scrutinizing so-that those-filled-up
τῶν δημοσίων ὑπερεπαινεῖν τὸν Ἀριστείδην καὶ δεξιοῦσθαι
from-the public-funds to-praise-excessively — Aristides and to-canvass
τὸν δῆμον ὑπὲρ αὐτοῦ, σπουδάζοντας ἄρχοντα πάλιν
the people for him eager magistrate again
αἱρεθῆναι. μελλόντων δὲ χειροτονεῖν ἐπετίμησε τοῖς
to-be-chosen being-about and to-vote he-rebuked the
Ἀθηναίοις· "Ὅτε μὲν γάρ," ἔφη, "πιστῶς καὶ καλῶς
Athenians when indeed for he-said faithfully and well
ὑμῖν ἦρξα, προὐπηλακίσθην· ἐπεὶ δὲ πολλὰ τῶν κοινῶν
for-you I-ruled I-was-insulted since and much of-the public
καταπροεῖμαι τοῖς κλέπτουσι θαυμαστὸς εἶναι δοκῶ πολίτης.
I-have-let-go to-the thieves admirable to-be I-seem citizen
αὐτὸς μὲν οὖν αἰσχύνομαι τῇ νῦν τιμῇ μᾶλλον ἢ τῇ
myself indeed then I-am-ashamed at-the present honor more than at-the
πρώην καταδίκῃ, συνάχθομαι δ' ὑμῖν, παρ' οἷς ἐνδοξότερόν
former conviction I-grieve and for-you among whom more-glorious

ἐστι τοῦ σώζειν τὰ δημόσια τὸ χαρίζεσθαι τοῖς πονηροῖς.”
it-is than-the to-preserve the public-things the to-gratify the wicked
ταῦτα δ’ εἰπὼν καὶ τὰς κλοπὰς ἐξελέγξας τοὺς μὲν τότε
these-things and having-said and the thefts having-exposed those indeed then
βοῶντας ὑπὲρ αὐτοῦ καὶ μαρτυροῦντας ἐπεστόμισε, τὸν
shouting on-behalf-of him and bearing-witness he-silenced the
δ’ ἀληθινὸν καὶ δίκαιον ἀπὸ τῶν βελτίστων ἔπαινον εἶχεν.
and true and just from the best praise he-had

II · MARATHON AND OSTRACISM

At Marathon Aristides yields his day of command to Miltiades and fights in the center beside Themistocles; left to guard the spoils, he touches nothing, while Callias the torchbearer grows rich on buried gold. His justice earns him the surname the Just, which breeds envy, and he is ostracized: an unlettered voter asks him to write Aristides on his sherd, tired of hearing him called just. The practice ends with Hyperbolus. Recalled before Salamis, he crosses at night to Themistocles.

Ἐπεὶ δὲ Δᾶτις ὑπὸ Δαρείου πεμφθεὶς λόγῳ μὲν ἐπιθεῖναι 5
when and Datis by Darius having-been-sent in-word indeed to-inflict
δίκην Ἀθηναίοις, ὅτι Σάρδεις ἐνέπρησαν, ἔργῳ δὲ
punishment on-Athenians because Sardis they-burned in-deed and
καταστρέψασθαι τοὺς Ἕλληνας, εἰς Μαραθῶνα παντὶ
to-subdue the Greeks to Marathon with-all
τῷ στόλῳ κατέσχε καὶ τὴν χώραν ἐπόρθει, τῶν δέκα
the fleet put-in and the country ravaged of-the ten
καθεστώτων τοῖς Ἀθηναίοις ἐπὶ τὸν πόλεμον στρατηγῶν
appointed for-the Athenians for the war generals
μέγιστον μὲν εἶχεν ἀξίωμα Μιλτιάδης, δόξῃ δὲ καὶ
greatest indeed had prestige Miltiades in-fame and and
δυνάμει δεύτερος ἦν Ἀριστείδης. καὶ τότε περὶ τῆς μάχης
power second was Aristides and then about the battle

γνώμῃ τῇ Μιλτιάδου προσθέμενος οὐ μικρὰν ἐποίησε
to-the-opinion the of-Miltiades having-attached-himself not small made
ῥοπήν· καὶ παρ᾽ ἡμέραν ἑκάστου στρατηγοῦ τὸ κράτος
weight and by day each general the command
ἔχοντος, ὡς περιῆλθεν εἰς αὐτὸν ἡ ἀρχή, παρέδωκε
having when came-round to him the command he-handed-it-over
Μιλτιάδῃ, διδάσκων τοὺς συνάρχοντας, ὅτι τὸ πείθεσθαι καὶ
to-Miltiades teaching the fellow-commanders that the to-obey and
ἀκολουθεῖν τοῖς εὖ φρονοῦσιν οὐκ αἰσχρόν, ἀλλὰ σεμνόν
to-follow those well thinking not shameful but honorable
ἐστι καὶ σωτήριον. οὕτω δὲ πραΰνας τὴν φιλονεικίαν καὶ
is and saving so and having-softened the rivalry and
προτρεψάμενος αὐτοὺς ἀγαπᾶν μιᾷ γνώμῃ τῇ κρατίστῃ
having-urged them to-be-content with-one opinion the best
χρωμένους, ἔρρωσε τὸν Μιλτιάδην τῷ ἀπερισπάστῳ
using he-strengthened — Miltiades by-the undistracted
τῆς ἐξουσίας ἰσχυρὸν γενόμενον. χαίρειν γὰρ ἐῶν
of-the authority strong having-become to-bid-farewell for letting
ἕκαστος ἤδη τὸ παρ᾽ ἡμέραν ἄρχειν ἐκείνῳ προσεῖχεν.
each now the by day to-command to-that-one attended
Ἐν δὲ τῇ μάχῃ μάλιστα τῶν Ἀθηναίων τοῦ μέσου
in and the battle most of-the Athenians the center
πονήσαντος καὶ πλεῖστον ἐνταῦθα χρόνον τῶν βαρβάρων
having-labored and longest there time the barbarians
ἀντερεισάντων κατὰ τὴν Λεοντίδα καὶ τὴν Ἀντιοχίδα
having-pushed-back against the Leontid and the Antiochid
φυλήν, ἠγωνίσαντο λαμπρῶς τεταγμένοι παρ᾽ ἀλλήλους
tribe fought brilliantly posted beside one-another
ὅ τε Θεμιστοκλῆς καὶ ὁ Ἀριστείδης· ὁ μὲν γὰρ
— both Themistocles and — Aristides the-one indeed for
Λεοντίδος ἦν, ὁ δ᾽ Ἀντιοχίδος· ἐπεὶ δὲ τρεψάμενοι
of-Leontis was the-other and of-Antiochis when and having-routed

τοὺς βαρβάρους ἐνέβαλον εἰς τὰς ναῦς καὶ πλέοντας
the barbarians they-drove-them into the ships and sailing
οὐκ ἐπὶ νήσων ἑώρων, ἀλλ᾽ ὑπὸ τοῦ πνεύματος καὶ
not to islands they-saw but by the wind and
τῆς θαλάσσης εἴσω πρὸς τὴν Ἀττικὴν ἀποβιαζομένους,
the sea inward toward — Attica being-forced
φοβηθέντες μὴ τὴν πόλιν ἔρημον λάβωσι τῶν ἀμυνομένων,
having-feared lest the city deserted they-take of-the defenders
ταῖς μὲν ἐννέα φυλαῖς ἠπείγοντο πρὸς τὸ ἄστυ καὶ
with-the indeed nine tribes they-hastened to the town and
κατήνυσαν αὐθημερόν· ἐν δὲ Μαραθῶνι μετὰ τῆς ἑαυτοῦ
arrived the-same-day in and Marathon with the his-own
φυλῆς Ἀριστείδης ἀπολειφθεὶς φύλαξ τῶν αἰχμαλώτων καὶ
tribe Aristides left-behind guard of-the captives and
τῶν λαφύρων οὐκ ἐψεύσατο τὴν δόξαν, ἀλλὰ χύδην μὲν
the spoils not belied the reputation but in-heaps indeed
ἀργύρου καὶ χρυσοῦ παρόντος, ἐσθῆτος δὲ παντοδαπῆς
of-silver and gold being-present of-clothing and of-all-kinds
καὶ χρημάτων ἄλλων ἀμυθήτων ἐν ταῖς σκηναῖς καὶ τοῖς
and goods other untold in the tents and the
ἡλωκόσι σκάφεσιν ὑπαρχόντων, οὔτ᾽ αὐτὸς ἐπεθύμησε
captured vessels being-there neither himself desired
θιγεῖν οὔτ᾽ ἄλλον εἴασε, πλὴν εἴ τινες ἐκεῖνον λαθόντες
to-touch nor another he-allowed except if some him having-escaped-notice
ὠφελήθησαν· ὧν ἦν καὶ Καλλίας ὁ δᾳδοῦχος.
profited of-whom was also Callias the torch-bearer
Τούτῳ γάρ τις, ὡς ἔοικε, τῶν βαρβάρων προσέπεσεν
to-this-one for some as it-seems of-the barbarians fell-at-his-feet
οἰηθεὶς βασιλέα διὰ τὴν κόμην καὶ τὸ στρόφιον εἶναι·
having-thought a-king because-of the hair and the headband to-be
προσκυνήσας δὲ καὶ λαβόμενος τῆς δεξιᾶς ἔδειξε πολὺ
having-done-obeisance and and having-taken the right-hand he-showed much

χρυσίον ἐν λάκκῳ τινὶ κατορωρυγμένον. ὁ δὲ Καλλίας
gold in pit a-certain buried — and Callias
ὠμότατος ἀνθρώπων καὶ παρανομώτατος γενόμενος τὸν μὲν
most-savage of-men and most-lawless having-become the indeed
χρυσὸν ἀνείλετο, τὸν δ' ἄνθρωπον, ὡς μὴ κατείποι πρὸς
gold took-up the and man so-that not he-might-tell to
ἑτέρους, ἀπέκτεινεν. ἐκ τούτου φασὶ καὶ λακκοπλούτους ὑπὸ
others he-killed from this they-say also pit-wealthy by
τῶν κωμικῶν τοὺς ἀπὸ τῆς οἰκίας λέγεσθαι, σκωπτόντων
the comic-poets those from the house to-be-called jesting
εἰς τὸν τόπον, ἐν ᾧ τὸ χρυσίον ὁ Καλλίας εὗρεν.
at the place in which the gold — Callias found
Ἀριστείδης δὲ τὴν ἐπώνυμον εὐθὺς ἀρχὴν ἦρξε. καίτοι
Aristides and the eponymous at-once office held and-yet
φησὶν ὁ Φαληρεὺς Δημήτριος ἄρξαι τὸν ἄνδρα
says the Phalerean Demetrius to-have-held-office the man
μικρὸν ἔμπροσθεν τοῦ θανάτου μετὰ τὴν ἐν Πλαταιαῖς
shortly before the death after the at Plataea
μάχην. ἐν δὲ ταῖς ἀναγραφαῖς μετὰ μὲν Ξανθιππίδην, ἐφ'
battle in and the records after indeed Xanthippides in
οὗ Μαρδόνιος ἡττήθη Πλαταιᾶσιν, οὐδ' ὁμώνυμον
whose-time Mardonius was-defeated at-Plataea not-even namesake
Ἀριστείδην ἐν πάνυ πολλοῖς λαβεῖν ἔστι, μετὰ δὲ
Aristides in very many to-find is-it-possible after and
Φαίνιππον, ἐφ' οὗ τὴν ἐν Μαραθῶνι μάχην ἐνίκων,
Phaenippus in whose-time the at Marathon battle they-won
εὐθὺς Ἀριστείδης ἄρχων ἀναγέγραπται.
at-once Aristides archon is-recorded

6 Πασῶν δὲ τῶν περὶ αὐτὸν ἀρετῶν ἡ δικαιοσύνη μάλιστα
of-all and the about him virtues the justice most
τοῖς πολλοῖς αἴσθησιν παρεῖχε διὰ τὸ τὴν χρείαν
to-the many perception gave because-of the the use

ἐνδελεχεστάτην αὐτῆς καὶ κοινοτάτην ὑπάρχειν. ὅθεν ἀνὴρ
most-continual of-it and most-common to-exist whence a-man
πένης καὶ δημοτικὸς ἐκτήσατο τὴν βασιλικωτάτην καὶ
poor and of-the-people acquired the most-kingly and
θειοτάτην προσηγορίαν τὸν Δίκαιον· ὃ τῶν βασιλέων
most-divine appellation the Just which of-the kings
καὶ τυράννων οὐδεὶς ἐζήλωσεν, ἀλλὰ Πολιορκηταὶ καὶ
and tyrants no-one emulated but Besiegers and
Κεραυνοὶ καὶ Νικάτορες, ἔνιοι δ' Ἀετοὶ καὶ Ἱέρακες
Thunderbolts and Conquerors some and Eagles and Hawks
ἔχαιρον προσαγορευόμενοι, τὴν ἀπὸ τῆς βίας καὶ τῆς
rejoiced being-called the from the force and the
δυνάμεως, ὡς ἔοικε, μᾶλλον ἢ τὴν ἀπὸ τῆς ἀρετῆς δόξαν
power as it-seems rather than the from the virtue fame
ἀγαπῶντες. καίτοι τὸ θεῖον, ᾧ γλίχονται συνοικειοῦν
loving and-yet the divine to-which they-are-eager to-make-akin
καὶ συναφομοιοῦν αὑτούς, τρισὶ δοκεῖ διαφέρειν, ἀφθαρσίᾳ
and to-liken themselves in-three seems to-excel in-incorruption
καὶ δυνάμει καὶ ἀρετῇ, ὧν καὶ σεμνότατον ἡ ἀρετὴ
and in-power and in-virtue of-which also most-august the virtue
καὶ θειότατόν ἐστιν. ἀφθάρτῳ μὲν γὰρ εἶναι καὶ τῷ
and most-divine is incorruptible indeed for to-be also to-the
κενῷ καὶ τοῖς στοιχείοις συμβέβηκε, δύναμιν δὲ καὶ
void and to-the elements belongs power and also
σεισμοὶ καὶ κεραυνοὶ καὶ πνευμάτων ὁρμαὶ καὶ ῥευμάτων
earthquakes and thunderbolts and of-winds rushes and of-floods
ἐπιφοραὶ μεγάλην ἔχουσι, δίκης δὲ καὶ θέμιδος οὐδὲν ὅτι
onsets great have of-justice but and of-right nothing which
μὴ τῷ φρονεῖν καὶ λογίζεσθαι μεταλαγχάνει.
not by-the to-think and to-reason partakes

Διὸ καὶ τριῶν ὄντων, ἃ πεπόνθασιν οἱ πολλοὶ πρὸς
wherefore also three being which feel the many toward
τὸ θεῖον, ζήλου καὶ φόβου καὶ τιμῆς, ζηλοῦν μὲν αὐτοὺς
the divine of-emulation and of-fear and of-honor to-emulate indeed them
καὶ μακαρίζειν ἐοίκασι κατὰ τὸ ἄφθαρτον καὶ ἀΐδιον,
and to-call-blessed they-seem in-respect-of the incorruptible and eternal
ἐκπλήττεσθαι δὲ καὶ δεδιέναι κατὰ τὸ κύριον καὶ δυνατόν,
to-be-awed and and to-fear in-respect-of the sovereign and powerful
ἀγαπᾶν δὲ καὶ τιμᾶν καὶ σέβεσθαι κατὰ τὴν δικαιοσύνην.
to-love and and to-honor and to-revere in-respect-of the justice
ἀλλά, καίπερ οὕτω διακείμενοι, τῆς μὲν ἀθανασίας, ἣν ἡ
but though so disposed of-the indeed immortality which the
φύσις ἡμῶν οὐ δέχεται, καὶ τῆς δυνάμεως, ἧς ἐν τῇ τύχῃ
nature our not admits and of-the power of-which in the fortune
κεῖται τὸ πλεῖστον, ἐπιθυμοῦσι, τὴν δ' ἀρετήν, ὃ μόνον
lies the most they-desire the but virtue which alone
ἐστὶ τῶν θείων ἀγαθῶν ἐφ' ἡμῖν, ἐν ὑστέρῳ τίθενται, κακῶς
is of-the divine goods in our-power in second they-put badly
φρονοῦντες, ὡς τὸν ἐν δυνάμει καὶ τύχῃ μεγάλῃ καὶ ἀρχῇ
thinking since the in power and fortune great and rule
βίον ἡ μὲν δικαιοσύνη ποιεῖ θεῖον, ἡ δ' ἀδικία θηριώδη.
life the indeed justice makes divine the and injustice bestial

7 Τῷ δ' οὖν Ἀριστείδῃ συνέβη τὸ πρῶτον ἀγαπωμένῳ
— and then to-Aristides it-happened at-the first being-loved
διὰ τὴν ἐπωνυμίαν ὕστερον φθονεῖσθαι, μάλιστα μὲν
because-of the surname later to-be-envied most indeed
τοῦ Θεμιστοκλέους λόγον εἰς τοὺς πολλοὺς διαδιδόντος,
— Themistocles a-report among the many spreading
ὡς Ἀριστείδης ἀνῃρηκὼς τὰ δικαστήρια τῷ κρίνειν
that Aristides having-done-away-with the courts by-the to-judge
ἅπαντα καὶ δικάζειν, λέληθε μοναρχίαν ἀδορυφόρητον
everything and to-decide has-escaped-notice a-monarchy without-bodyguard

ἑαυτῷ κατεσκευασμένος· ἤδη δέ που καὶ ὁ δῆμος ἐπὶ
for-himself established already and I-suppose also the people at
τῇ νίκῃ μέγα φρονῶν καὶ τῶν μεγίστων ἀξιῶν αὐτὸν
the victory greatly being-proud and of-the greatest deeming-worthy itself
ἤχθετο τοῖς ὄνομα καὶ δόξαν ὑπὲρ τοὺς πολλοὺς ἔχουσι.
was-vexed with-those name and fame above the many having
καὶ συνελθόντες εἰς ἄστυ πανταχόθεν ἐξοστρακίζουσι
and having-come-together to town from-everywhere they-ostracize
τὸν Ἀριστείδην, ὄνομα τῷ φθόνῳ τῆς δόξης φόβον
— Aristides name to-the envy of-the fame fear
τυραννίδος θέμενοι.
of-tyranny having-given
Μοχθηρίας γὰρ οὐκ ἦν κόλασις ὁ ἐξοστρακισμός,
of-wickedness for not was punishment the ostracism
ἀλλ᾽ ἐκαλεῖτο μὲν δι᾽ εὐπρέπειαν ὄγκου καὶ δυνάμεως
but it-was-called indeed for decency of-dignity and of-power
βαρυτέρας ταπείνωσις καὶ κόλουσις, ἦν δὲ φθόνου
too-oppressive a-humbling and lopping it-was and of-envy
παραμυθία φιλάνθρωπος, εἰς ἀνήκεστον οὐδέν, ἀλλ᾽ εἰς
consolation humane to incurable nothing but to
μετάστασιν ἐτῶν δέκα τὴν πρὸς τὸ λυποῦν ἀπερειδομένου
removal of-years ten the toward the paining venting
δυσμένειαν. ἐπεὶ δ᾽ ἤρξαντό τινες ἀνθρώπους ἀγεννεῖς
ill-will when and began some men ignoble
καὶ πονηροὺς ὑποβάλλειν τῷ πράγματι, τελευταῖον
and wicked to-subject to-the thing last
ἁπάντων Ὑπέρβολον ἐξοστρακίσαντες ἐπαύσαντο. λέγεται
of-all Hyperbolus having-ostracized they-stopped it-is-said
δὲ τὸν Ὑπέρβολον ἐξοστρακισθῆναι διὰ τοιαύτην αἰτίαν.
and — Hyperbolus to-have-been-ostracized for such cause
Ἀλκιβιάδης καὶ Νικίας μέγιστον ἐν τῇ πόλει δυνάμενοι
Alcibiades and Nicias most in the city being-powerful

διεστασίαζον. ὡς οὖν ὁ δῆμος ἔμελλε φέρειν τὸ ὄστρακον
were-at-odds when then the people was-about to-cast the sherd
καὶ δῆλος ἦν τὸν ἕτερον γράψων, διαλεχθέντες ἀλλήλοις
and clear was the one going-to-write having-conferred with-one-another
καὶ τὰς στάσεις ἑκατέρας εἰς ταὐτὸ συναγαγόντες τὸν
and the factions each into the-same having-brought-together —
Ὑπέρβολον ἐξοστρακισθῆναι παρεσκεύασαν. ἐκ δὲ τούτου
Hyperbolus to-be-ostracized arranged from and this
δυσχεράνας ὁ δῆμος ὡς καθυβρισμένον τὸ πρᾶγμα καὶ
displeased the people as outraged the thing and
προπεπηλακισμένον ἀφῆκε παντελῶς καὶ κατέλυσεν.
insulted gave-up completely and abolished-it
Ἦν δὲ τοιοῦτον, ὡς τύπῳ φράσαι, τὸ γινόμενον. ὄστρακον
it-was and such as in-outline to-tell the procedure a-sherd
λαβὼν ἕκαστος καὶ γράψας ὃν ἐβούλετο μεταστῆσαι τῶν
having-taken each and having-written whom he-wished to-remove of-the
πολιτῶν, ἔφερεν εἰς ἕνα τόπον τῆς ἀγορᾶς περιπεφραγμένον
citizens he-carried to one place of-the market-place fenced-in
ἐν κύκλῳ δρυφάκτοις. οἱ δ' ἄρχοντες πρῶτον μὲν
in a-circle with-railings the and archons first indeed
διηρίθμουν τὸ σύμπαν ἐν ταὐτῷ τῶν ὀστράκων πλῆθος·
counted the total in the-same-place of-the sherds number
εἰ γὰρ ἑξακισχιλίων ἐλάττονες οἱ φέροντες εἶεν, ἀτελὴς
if for than-six-thousand fewer those casting were incomplete
ἦν ὁ ἐξοστρακισμός· ἔπειτα τῶν ὀνομάτων ἕκαστον
was the ostracism then of-the names each
ἰδίᾳ θέντες τὸν ὑπὸ τῶν πλείστων γεγραμμένον
separately having-put the-one by the most written
ἐξεκήρυττον εἰς ἔτη δέκα, καρπούμενον τὰ αὑτοῦ.
they-proclaimed-banished for years ten enjoying the his-own

Γραφομένων οὖν τότε τῶν ὀστράκων λέγεταί τινα
being-written then at-that-time of-the sherds it-is-said a-certain
τῶν ἀγραμμάτων καὶ παντελῶς ἀγροίκων ἀναδόντα τῷ
of-the illiterate and utterly boorish having-handed —
Ἀριστείδῃ τὸ ὄστρακον ὡς ἑνὶ τῶν τυχόντων παρακαλεῖν,
attending to-him and drawn-up for the battle
οὕτω τῆς ἐκεῖ βοηθείας ἀποτραπόμενος συνέβαλε τούτοις
so from-the there help having-turned-back he-engaged with-these
περὶ πεντακισμυρίους οὖσιν. ἀλλὰ τὸ μὲν πλεῖστον
about fifty-thousand being but the indeed most
εὐθὺς ἐνέδωκε καὶ ἀπεχώρησεν, ἅτε δὴ καὶ τῶν
at-once gave-way and withdrew inasmuch-as indeed also the
βαρβάρων ἀπηλλαγμένων, ἡ δὲ μάχη λέγεται μάλιστα
barbarians having-departed the and battle is-said most
κατὰ Θηβαίους γενέσθαι, προθυμότατα τῶν πρώτων
against Thebans to-have-taken-place most-zealously the first
καὶ δυνατωτάτων τότε παρ' αὐτοῖς μηδιζόντων καὶ τὸ
and most-powerful then among them medizing and the
πλῆθος οὐ κατὰ γνώμην, ἀλλ' ὀλιγαρχούμενον ἀγόντων.
multitude not by choice but under-oligarchy leading

Οὕτω δὲ τοῦ ἀγῶνος δίχα συνεστῶτος πρῶτοι μὲν ἐώσαντο 19
so and the contest in-two having-been-joined first indeed pushed-back
τοὺς Πέρσας οἱ Λακεδαιμόνιοι· καὶ τὸν Μαρδόνιον ἀνὴρ
the Persians the Lacedaemonians and — Mardonius a-man
Σπαρτιάτης ὄνομα Ἀρίμνηστος ἀποκτίννυσι, λίθῳ τὴν
Spartan by-name Arimnestus kills with-a-stone the
κεφαλὴν πατάξας, ὥσπερ αὐτῷ προεσήμανε τὸ ἐν Ἀμφιάρεω
head having-struck just-as to-him foretold the in Amphiaraus'
μαντεῖον. ἔπεμψε γὰρ ἄνδρα Λυδὸν ἐνταῦθα, Κᾶρα δὲ ἕτερον
oracle he-sent for a-man Lydian there a-Carian and another
εἰς Τροφωνίου ὁ Μαρδόνιος· καὶ τοῦτον μὲν ὁ προφήτης
to Trophonius' — Mardonius and this-one indeed the prophet
Καρικῇ γλώσσῃ προσεῖπεν, ὁ δὲ Λυδὸς ἐν τῷ σηκῷ τοῦ
in-Carian tongue addressed the and Lydian in the precinct —
Ἀμφιάρεω κατευνασθεὶς ἔδοξεν ὑπηρέτην τινὰ τοῦ θεοῦ
of-Amphiaraus having-gone-to-sleep seemed a-servant some of-the god
παραστῆναι καὶ κελεύειν αὐτὸν ἀπιέναι, μὴ βουλομένου δὲ
to-stand-beside and to-bid him to-go-away not wishing and
λίθον εἰς τὴν κεφαλὴν ἐμβαλεῖν μέγαν, ὥστε δόξαι πληγέντα
a-stone at the head to-throw great so-that to-seem struck
τεθνάναι τὸν ἄνθρωπον· καὶ ταῦτα μὲν οὕτω γενέσθαι
to-have-died the man and these-things indeed so to-have-happened
λέγεται. τοὺς δὲ φεύγοντας εἰς τὰ ξύλινα τείχη καθεῖρξαν.
is-said those and fleeing into the wooden walls they-shut-in
Ὀλίγῳ δ' ὕστερον Ἀθηναῖοι τοὺς Θηβαίους τρέπονται,
little and later Athenians the Thebans rout
τριακοσίους τοὺς ἐπιφανεστάτους καὶ πρώτους διαφθείραντες
three-hundred the most-distinguished and first having-killed
ἐν αὐτῇ τῇ μάχῃ. γεγενημένης δὲ τῆς τροπῆς ἦκεν
in the-very the battle having-occurred and the rout came
αὐτοῖς ἄγγελος πολιορκεῖσθαι τὸ βαρβαρικὸν εἰς τὰ
to-them a-messenger to-be-besieged the barbarian-force in the

τείχη κατακεκλεισμένον. οὕτω δὴ σώζεσθαι τοὺς
walls shut-up so indeed to-be-saved the
Ἕλληνας ἐάσαντες ἐβοήθουν πρὸς τὰ τείχη· καὶ τοῖς
Greeks having-let they-went-to-help to the walls and to-the
Λακεδαιμονίοις παντάπασιν ἀργῶς πρὸς τειχομαχίαν καὶ
Lacedaemonians altogether slowly toward wall-fighting and
ἀπείρως ἔχουσιν ἐπιφανέντες αἱροῦσι τὸ στρατόπεδον
inexperiencedly being having-appeared they-take the camp
φόνῳ πολλῷ τῶν πολεμίων. λέγονται γὰρ ἀπὸ τῶν
with-slaughter great of-the enemies are-said for from the
τριάκοντα μυριάδων τετρακισμύριοι φυγεῖν σὺν Ἀρταβάζῳ,
thirty myriads forty-thousand to-have-fled with Artabazus
τῶν δ' ὑπὲρ τῆς Ἑλλάδος ἀγωνισαμένων ἔπεσον
of-those and on-behalf-of — Greece having-fought fell
οἱ πάντες ἐπὶ χιλίοις ἑξήκοντα καὶ τριακόσιοι. τούτων
the all-told above a-thousand sixty and three-hundred of-these
Ἀθηναῖοι μὲν ἦσαν δύο καὶ πεντήκοντα, πάντες ἐκ
Athenians indeed were two and fifty all from
τῆς Αἰαντίδος φυλῆς, ὥς φησι Κλείδημος, ἀγωνισαμένης
the Aiantid tribe as says Cleidemus having-fought
ἄριστα· διὸ καὶ ταῖς Σφραγίτισι νύμφαις ἔθυον
best wherefore also to-the Sphragitid nymphs sacrificed
Αἰαντίδαι τὴν πυθόχρηστον θυσίαν ὑπὲρ τῆς νίκης,
Aiantids the Pythian-ordained sacrifice on-behalf-of the victory
ἐκ δημοσίου τὸ ἀνάλωμα λαμβάνοντες· Λακεδαιμόνιοι δ'
from public-funds the expense taking Lacedaemonians and
ἑνὶ πλείους τῶν ἐνενήκοντα, Τεγεᾶται δ' ἑκκαίδεκα.
by-one more than-the ninety Tegeans and sixteen
Θαυμαστὸν οὖν τὸ Ἡροδότου, πῶς μόνους τούτους φησὶν
surprising then the of-Herodotus how only these he-says
εἰς χεῖρας ἐλθεῖν τοῖς πολεμίοις, τῶν δ' ἄλλων
into hands to-have-come with-the enemies of-the and other

Ἑλλήνων μηδένα. καὶ γὰρ τὸ πλῆθος τῶν πεσόντων
Greeks none and for the number of-the fallen
μαρτυρεῖ καὶ τὰ μνήματα κοινὸν γενέσθαι τὸ κατόρθωμα·
bears-witness and the monuments common to-have-been the success
καὶ τὸν βωμὸν οὐκ ἂν ἐπέγραψαν οὕτως, εἰ μόναι
and the altar not — they-would-have-inscribed thus if only
τρεῖς πόλεις ἠγωνίσαντο, τῶν ἄλλων ἀτρέμα καθεζομένων·
three cities had-fought of-the others quietly sitting

Τόνδε ποθ' Ἕλληνες νίκας κράτει, ἔργῳ Ἄρηος,
this once Greeks of-victory by-might by-deed of-Ares
Πέρσας ἐξελάσαντες ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
Persians having-driven-out for-free Greece common
ἱδρύσαντο Διὸς βωμὸν ἐλευθερίου.
set-up of-Zeus altar of-freedom

Ταύτην τὴν μάχην ἐμαχέσαντο τῇ τετράδι τοῦ
this the battle they-fought on-the fourth —
Βοηδρομιῶνος ἱσταμένου κατ' Ἀθηναίους, κατὰ δὲ
of-Boedromion beginning by Athenians by and
Βοιωτοὺς τετράδι τοῦ Πανέμου φθίνοντος, ᾗ καὶ νῦν
Boeotians on-fourth — of-Panemus waning on-which also now
ἔτι τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον καὶ
still the Greek at Plataea assembles council and
θύουσι τῷ ἐλευθερίῳ Διΐ Πλαταιεῖς ὑπὲρ τῆς νίκης.
sacrifice to-the freedom Zeus Plataeans on-behalf-of the victory
τὴν δὲ τῶν ἡμερῶν ἀνωμαλίαν οὐ θαυμαστέον, ὅπου
the and of-the days irregularity not is-to-be-wondered-at where
καὶ νῦν διηκριβωμένων τῶν ἐν ἀστρολογίᾳ μᾶλλον
even now having-been-precisely-worked-out of-the in astronomy more
ἄλλην ἄλλοι μηνὸς ἀρχὴν καὶ τελευτὴν ἄγουσιν.
other others of-month beginning and end keep

20 Ἐκ τούτου τῶν Ἀθηναίων τὸ ἀριστεῖον οὐ παραδιδόντων τοῖς
from this the Athenians the prize not yielding to-the
Σπαρτιάταις οὐδὲ τρόπαιον ἱστάναι συγχωρούντων ἐκείνοις,
Spartans nor a-trophy to-set-up allowing them
παρ᾽ οὐδὲν ἂν ἦλθεν εὐθὺς ἀπολέσθαι τὰ πράγματα
by nothing — would-have-come at-once to-be-ruined the affairs
τῶν Ἑλλήνων ἐν τοῖς ὅπλοις διαστάντων, εἰ μὴ πολλὰ
of-the Greeks in the arms having-split if not much
παρηγορῶν καὶ διδάσκων τοὺς συστρατήγους ὁ Ἀριστείδης,
consoling and instructing the fellow-generals — Aristides
μάλιστα δὲ Λεωκράτη καὶ Μυρωνίδην, ἔσχε καὶ συνέπεισε
most and Leocrates and Myronides restrained and persuaded
τὴν κρίσιν ἐφεῖναι τοῖς Ἕλλησιν. ἐνταῦθα βουλευομένων τῶν
the decision to-refer to-the Greeks there deliberating the
Ἑλλήνων Θεογείτων μὲν ὁ Μεγαρεὺς εἶπεν, ὡς ἑτέρᾳ πόλει
Greeks Theogeiton indeed the Megarian said that to-another city
δοτέον εἴη τὸ ἀριστεῖον, εἰ μὴ βούλονται συνταράξαι
to-be-given would-be the prize if not they-wish to-stir-up
πόλεμον ἐμφύλιον· ἐπὶ τούτῳ δ᾽ ἀναστὰς Κλεόκριτος ὁ
war civil upon this and having-stood-up Cleocritus the
Κορίνθιος δόξαν μὲν παρέσχεν ὡς Κορινθίοις αἰτήσων τὸ
Corinthian impression indeed gave that for-Corinthians going-to-ask the
ἀριστεῖον· ἦν γὰρ ἐν ἀξιώματι μεγίστῳ μετὰ τὴν Σπάρτην
prize was for in esteem greatest after — Sparta
καὶ τὰς Ἀθήνας ἡ Κόρινθος· εἶπε δὲ πᾶσιν ἀρέσαντα καὶ
and — Athens — Corinth he-made but to-all pleasing and
θαυμαστὸν λόγον ὑπὲρ Πλαταιέων, καὶ συνεβούλευσε
admirable speech on-behalf-of Plataeans and advised
τὴν φιλονεικίαν ἀνελεῖν ἐκείνοις τὸ ἀριστεῖον ἀποδόντας,
the rivalry to-remove to-those the prize giving
οἷς οὐδετέρους τιμωμένοις ἄχθεσθαι. ῥηθέντων δὲ
whom neither being-honored to-be-vexed having-been-said and

τούτων πρῶτος μὲν Ἀριστείδης συνεχώρησεν ὑπὲρ τῶν
these-things first indeed Aristides conceded on-behalf-of the
Ἀθηναίων, ἔπειτα Παυσανίας ὑπὲρ τῶν Λακεδαιμονίων.
Athenians then Pausanias on-behalf-of the Lacedaemonians
οὕτω δὲ διαλλαγέντες ἐξεῖλον ὀγδοήκοντα τάλαντα τοῖς
so and reconciled they-set-apart eighty talents for-the
Πλαταιεῦσιν, ἀφ' ὧν τὸ τῆς Ἀθηνᾶς ἀνῳκοδόμησαν ἱερὸν
Plataeans from which the — of-Athena they-rebuilt shrine
καὶ τὸ ἕδος ἔστησαν καὶ γραφαῖς τὸν νεὼν διεκόσμησαν,
and the image set-up and with-paintings the temple adorned
αἳ μέχρι νῦν ἀκμάζουσαι διαμένουσιν, ἔστησαν δὲ
which until now flourishing remain set-up and
τρόπαιον ἰδίᾳ μὲν Λακεδαιμόνιοι, χωρὶς δ' Ἀθηναῖοι.
a-trophy separately indeed Lacedaemonians apart and Athenians
Περὶ δὲ θυσίας ἐρομένοις αὐτοῖς ἀνεῖλεν ὁ Πύθιος Διὸς
about and sacrifice having-asked to-them answered the Pythian of-Zeus
ἐλευθερίου βωμὸν ἱδρύσασθαι, θῦσαι δὲ μὴ πρότερον ἢ
of-freedom altar to-set-up to-sacrifice and not sooner than
τὸ κατὰ τὴν χώραν πῦρ ἀποσβέσαντας ὡς ὑπὸ τῶν
the throughout the country fire having-quenched as by the
βαρβάρων μεμιασμένον ἐναύσασθαι καθαρὸν ἐκ Δελφῶν
barbarians polluted to-kindle pure from Delphi
ἀπὸ τῆς κοινῆς ἑστίας. οἱ μὲν οὖν ἄρχοντες τῶν Ἑλλήνων
from the common hearth the indeed then commanders of-the Greeks
περιιόντες εὐθὺς ἠνάγκαζον ἀποσβεννύναι τὰ πυρὰ πάντα
going-around at-once compelled to-quench the fires all
τοὺς χρωμένους, ἐκ δὲ Πλαταιέων Εὐχίδας ὑποσχόμενος
those using from and Plataeans Euchidas having-promised
ὡς ἐνδέχεται τάχιστα κομιεῖν τὸ παρὰ τοῦ θεοῦ πῦρ ἦκεν
as is-possible quickest to-bring the from the god fire came
εἰς Δελφούς. ἁγνίσας δὲ τὸ σῶμα καὶ περιρρανάμενος
to Delphi having-purified and the body and having-sprinkled-himself

ἐστεφανώσατο δάφνῃ· καὶ λαβὼν ἀπὸ τοῦ βωμοῦ τὸ
crowned-himself with-laurel and having-taken from the altar the
πῦρ δρόμῳ πάλιν εἰς τὰς Πλαταιὰς ἐχώρει καὶ πρὸ ἡλίου
fire at-a-run back to — Plataea went and before of-sun
δυσμῶν ἐπανῆλθε, τῆς αὐτῆς ἡμέρας χιλίους σταδίους
setting returned on-the same day a-thousand stades
κατανύσας. ἀσπασάμενος δὲ τοὺς πολίτας καὶ τὸ πῦρ
having-accomplished having-greeted and the citizens and the fire
παραδοὺς εὐθὺς ἔπεσε καὶ μετὰ μικρὸν ἐξέπνευσεν.
having-handed-over at-once he-fell and after a-little breathed-his-last
ἀγάμενοι δ' αὐτὸν οἱ Πλαταιεῖς ἔθαψαν ἐν τῷ ἱερῷ τῆς
admiring and him the Plataeans buried in the shrine —
Εὐκλείας Ἀρτέμιδος, ἐπιγράψαντες τόδε τὸ τετράμετρον·
of-Eucleia Artemis having-inscribed this the tetrameter

Εὐχίδας Πυθῶδε θρέξας ἦλθε τᾦδ' αὐθημερόν.
Euchidas to-Pytho having-run came hither the-same-day

Τὴν δ' Εὔκλειαν οἱ μὲν πολλοὶ καὶ καλοῦσι καὶ
— and Eucleia the indeed many both call and
νομίζουσιν Ἄρτεμιν, ἔνιοι δέ φασιν Ἡρακλέους μὲν
consider Artemis some and say of-Heracles indeed
θυγατέρα καὶ Μυρτοῦς γενέσθαι, τῆς Μενοιτίου μὲν
daughter and of-Myrto to-have-been the of-Menoetius indeed
θυγατρός, Πατρόκλου δ' ἀδελφῆς, τελευτήσασαν δὲ
daughter of-Patroclus and sister having-died and
παρθένον ἔχειν παρά τε Βοιωτοῖς καὶ Λοκροῖς τιμάς.
a-virgin to-have among both Boeotians and Locrians honors
βωμὸς γὰρ αὐτῇ καὶ ἄγαλμα κατὰ πᾶσαν ἀγορὰν ἵδρυται,
altar for to-her and statue in every market-place is-set-up
καὶ προθύουσιν αἵ τε γαμούμεναι καὶ οἱ γαμοῦντες.
and offer-preliminary-sacrifice the both brides and the bridegrooms

Aristides decrees a yearly council and freedom for Plataea, whose people still make a yearly offering to the Greek dead with the rite Plutarch describes. He opens the archonship to every citizen and judges Themistocles' secret plan advantageous and unjust. Commanding with Cimon, he wins the allies with mildness while Pausanias insults them, until Uliades and Antagoras ram the Spartan's ship. Asked to assess the allies' tribute, he sets it at four hundred and sixty talents with a fairness later remembered, though under Pericles and the demagogues after him it rises to thirteen hundred.

Ἐκ τούτου γενομένης ἐκκλησίας κοινῆς τῶν Ἑλλήνων 21
from this having-been an-assembly common of-the Greeks
ἔγραψεν Ἀριστείδης ψήφισμα συνιέναι μὲν εἰς Πλαταιὰς
proposed Aristides a-decree to-come-together indeed at Plataea
καθ' ἕκαστον ἐνιαυτὸν ἀπὸ τῆς Ἑλλάδος προβούλους
in each year from — Greece delegates
καὶ θεωρούς, ἄγεσθαι δὲ πενταετηρικὸν ἀγῶνα τῶν
and sacred-envoys to-be-held and quadrennial games of-the
Ἐλευθερίων. εἶναι δὲ σύνταξιν Ἑλληνικὴν μυρίας μὲν
Eleutheria there-to-be and a-levy Greek ten-thousand indeed
ἀσπίδας, χιλίους δὲ ἵππους, ναῦς δ' ἑκατὸν ἐπὶ τὸν
shields a-thousand and horses ships and a-hundred for the
πρὸς βαρβάρους πόλεμον, Πλαταιεῖς δ' ἀσύλους καὶ
against barbarians war Plataeans and inviolable and
ἱεροὺς ἀφεῖσθαι τῷ θεῷ θύοντας ὑπὲρ τῆς Ἑλλάδος.
sacred to-be-released for-the god sacrificing on-behalf-of — Greece
Κυρωθέντων δὲ τούτων οἱ Πλαταιεῖς ὑπεδέξαντο τοῖς
having-been-ratified and these-things the Plataeans undertook for-the
πεσοῦσι καὶ κειμένοις· αὐτόθι τῶν Ἑλλήνων ἐναγίζειν
fallen and lying there of-the Greeks to-make-offerings
καθ' ἕκαστον ἐνιαυτόν. καὶ τοῦτο μέχρι νῦν δρῶσι
in each year and this until now they-do

τόνδε τὸν τρόπον· τοῦ Μαιμακτηριῶνος μηνός, ὅς
this the way in-the Maimacterion month which
ἐστι παρὰ Βοιωτοῖς Ἀλαλκομένιος, τῇ ἕκτῃ ἐπὶ δέκα
is among Boeotians Alalcomenius on-the sixth after ten
πέμπουσι πομπήν, ἧς προηγεῖται μὲν ἅμ' ἡμέρᾳ
they-send a-procession which leads indeed at-once-with day
σαλπιγκτὴς ἐγκελευόμενος τὸ πολεμικόν, ἕπονται δ'
a-trumpeter sounding the war-signal follow and
ἅμαξαι μυρρίνης μεσταὶ καὶ στεφανωμάτων καὶ μέλας
wagons of-myrtle full and of-wreaths and a-black
ταῦρος καὶ χοὰς οἴνου καὶ γάλακτος ἐν ἀμφορεῦσιν
bull and libations of-wine and of-milk in jars
ἐλαίου τε καὶ μύρου κρωσσοὺς νεανίσκοι κομίζοντες
of-oil both and of-perfume pitchers young-men bringing
ἐλεύθεροι· δούλῳ γὰρ οὐδενὸς ἔξεστι τῶν περὶ τὴν
free-born for-a-slave for of-none it-is-allowed of-the about the
διακονίαν ἐκείνην προσάψασθαι διὰ τὸ τοὺς ἄνδρας
service that to-put-hand-to because-of the the men
ἀποθανεῖν ὑπὲρ ἐλευθερίας· ἐπὶ πᾶσι δὲ τῶν Πλαταιέων
to-have-died for freedom after all and of-the Plataeans
ὁ ἄρχων, ᾧ τὸν ἄλλον χρόνον οὔτε σιδήρου θιγεῖν
the archon for-whom the other time neither iron to-touch
ἔξεστιν οὔθ' ἑτέραν ἐσθῆτα πλὴν λευκῆς ἀναλαβεῖν, τότε
is-allowed nor other clothing except white to-put-on then
χιτῶνα φοινικοῦν ἐνδεδυκὼς ἀράμενός τε ὑδρίαν ἀπὸ
a-tunic purple having-put-on having-taken-up and a-water-jar from
τοῦ γραμματοφυλακίου ξιφήρης ἐπὶ τοὺς τάφους προάγει
the record-office sword-in-hand to the tombs leads-forward
διὰ μέσης τῆς πόλεως. εἶτα λαβὼν ὕδωρ ἀπὸ τῆς
through the-middle-of the city then having-taken water from the
κρήνης αὐτὸς ἀπολούει τε τὰς στήλας καὶ μύρῳ χρίει,
spring himself washes both the pillars and with-perfume anoints

καὶ τὸν ταῦρον εἰς τὴν πυρὰν σφάξας καὶ κατευξάμενος
and the bull at the pyre having-slaughtered and having-prayed
Διῒ καὶ Ἑρμῇ χθονίῳ παρακαλεῖ τοὺς ἀγαθοὺς
to-Zeus and to-Hermes of-the-underworld invites the good
ἄνδρας τοὺς ὑπὲρ τῆς Ἑλλάδος ἀποθανόντας ἐπὶ τὸ
men those on-behalf-of — Greece having-died to the
δεῖπνον καὶ τὴν αἱμοκουρίαν. ἔπειτα κρατῆρα κεράσας
dinner and the blood-offering then a-mixing-bowl having-mixed
οἴνου καὶ χεάμενος ἐπιλέγει· “Προπίνω τοῖς ἀνδράσι
of-wine and having-poured-out he-says I-drink to-the men
τοῖς ὑπὲρ τῆς ἐλευθερίας τῶν Ἑλλήνων ἀποθανοῦσι.”
those on-behalf-of the freedom of-the Greeks having-died
ταῦτα μὲν οὖν ἔτι καὶ νῦν διαφυλάττουσιν οἱ Πλαταιεῖς.
these-things indeed then still even now keep-up the Plataeans
Ἐπεὶ δ’ ἀναχωρήσαντας εἰς τὸ ἄστυ τοὺς Ἀθηναίους ὁ 22
when and having-withdrawn to the town the Athenians —
Ἀριστείδης ἑώρα ζητοῦντας τὴν δημοκρατίαν ἀπολαβεῖν,
Aristides saw seeking the democracy to-recover
ἅμα μὲν ἄξιον ἡγούμενος διὰ τὴν ἀνδραγαθίαν
at-once indeed worthy thinking because-of the valor
ἐπιμελείας τὸν δῆμον, ἅμα δ’ οὐκ ἔτι ῥᾴδιον ἰσχύοντα
of-care the people at-once and no longer easy being-strong
τοῖς ὅπλοις καὶ μέγα φρονοῦντα ταῖς νίκαις ἐκβιασθῆναι,
in-the arms and greatly proud at-the victories to-be-forced
γράφει ψήφισμα κοινὴν εἶναι τὴν πολιτείαν καὶ τοὺς
he-proposes a-decree common to-be the constitution and the
ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι.
archons from Athenians all to-be-chosen
Θεμιστοκλέους δὲ πρὸς τὸν δῆμον εἰπόντος, ὡς ἔχει
Themistocles and to the people having-said that he-has
τι βούλευμα καὶ γνώμην ἀπόρρητον, ὠφέλιμον δὲ
some plan and opinion secret useful but

τῇ πόλει καὶ σωτήριον, ἐκέλευσαν Ἀριστείδην μόνον
for-the city and saving they-bade Aristides alone
ἀκοῦσαι καὶ συνδοκιμάσαι. φράσαντος δὲ τῷ Ἀριστείδῃ τοῦ
to-hear and to-help-judge having-told and — to-Aristides —
Θεμιστοκλέους, ὡς διανοεῖται τὸν ναύσταθμον ἐμπρῆσαι τῶν
Themistocles that he-intends the naval-station to-burn of-the
Ἑλλήνων, οὕτω γὰρ ἔσεσθαι μεγίστους καὶ κυρίους ἁπάντων
Greeks so for to-be greatest and masters of-all
τοὺς Ἀθηναίους, παρελθὼν εἰς τὸν δῆμον ὁ Ἀριστείδης
the Athenians having-come-forward to the people — Aristides
ἔφη τῆς πράξεως, ἣν Θεμιστοκλῆς πράττειν διανοεῖται,
said than-the action which Themistocles to-do intends
μήτε λυσιτελεστέραν ἄλλην μήτ' ἀδικωτέραν εἶναι. ταῦτ'
neither more-profitable another nor more-unjust to-be these-things
ἀκούσαντες οἱ Ἀθηναῖοι παύσασθαι τὸν Θεμιστοκλέα
having-heard the Athenians to-stop — Themistocles
προσέταξαν. οὕτω μὲν ὁ δῆμος ἦν φιλοδίκαιος, οὕτω
ordered so indeed the people was justice-loving so
δὲ τῷ δήμῳ πιστὸς ὁ ἀνὴρ καὶ βέβαιος.
and to-the people faithful the man and steadfast

23 Ἐπεὶ δὲ στρατηγὸς ἐκπεμφθεὶς μετὰ Κίμωνος ἐπὶ
when and general having-been-sent-out with Cimon to
τὸν πόλεμον ἑώρα τόν τε Παυσανίαν καὶ τοὺς ἄλλους
the war he-saw — both Pausanias and the other
ἄρχοντας τῶν Σπαρτιατῶν ἐπαχθεῖς καὶ χαλεποὺς τοῖς
commanders of-the Spartans offensive and harsh to-the
συμμάχοις ὄντας, αὐτός τε πρᾴως καὶ φιλανθρώπως
allies being he-himself both gently and humanely
ὁμιλῶν καὶ τὸν Κίμωνα παρέχων εὐάρμοστον αὐτοῖς καὶ
associating and — Cimon making accommodating to-them and
κοινὸν ἐν ταῖς στρατείαις ἔλαθε τῶν Λακεδαιμονίων
sociable in the campaigns he-escaped-notice from-the Lacedaemonians

οὐχ ὅπλοις οὐδὲ ναυσὶν οὐδ᾽ ἵπποις, εὐγνωμοσύνῃ δὲ καὶ
not with-arms nor with-ships nor with-horses with-good-sense but and
πολιτείᾳ τὴν ἡγεμονίαν παρελόμενος. προσφιλεῖς γὰρ
with-statesmanship the leadership having-taken-away endeared for
ὄντας τοὺς Ἀθηναίους τοῖς Ἕλλησι διὰ τὴν Ἀριστείδου
being the Athenians to-the Greeks because-of the of-Aristides
δικαιοσύνην καὶ τὴν Κίμωνος ἐπιείκειαν ἔτι μᾶλλον ἡ
justice and the of-Cimon fairness still more the
τοῦ Παυσανίου πλεονεξία καὶ βαρύτης ποθεινοὺς ἐποίει.
— of-Pausanias greed and harshness longed-for made
τοῖς τε γὰρ ἄρχουσι τῶν συμμάχων ἀεὶ μετ᾽ ὀργῆς
to-the both for commanders of-the allies always with anger
ἐνετύγχανε καὶ τραχέως, τούς τε πολλοὺς ἐκόλαζε πληγαῖς
he-dealt and harshly the and many he-punished with-blows
ἢ σιδηρᾶν ἄγκυραν ἐπιτιθεὶς ἠνάγκαζεν ἑστάναι δι᾽
or iron anchor placing-on he-compelled to-stand through
ὅλης τῆς ἡμέρας. στιβάδα δ᾽ οὐκ ἦν λαβεῖν
whole the day a-litter-of-straw and not it-was-possible to-get
οὐδὲ χόρτον οὐδὲ κρήνῃ προσελθεῖν ὑδρευόμενον οὐδένα
nor fodder nor to-a-spring to-approach drawing-water anyone
πρὸ τῶν Σπαρτιατῶν, ἀλλὰ μάστιγας ἔχοντες ὑπηρέται
before the Spartans but whips having servants
τοὺς προσιόντας ἀπήλαυνον. ὑπὲρ ὧν τοῦ Ἀριστείδου
those approaching drove-off about which — Aristides
ποτὲ βουληθέντος ἐγκαλέσαι καὶ διδάξαι, συναγαγὼν τὸ
once having-wished to-remonstrate and to-instruct having-drawn-together the
πρόσωπον ὁ Παυσανίας οὐκ ἔφη σχολάζειν οὐδ᾽ ἤκουσεν.
face — Pausanias not he-said to-have-leisure nor did-he-listen
Ἐκ τούτου προσιόντες οἱ ναύαρχοι καὶ στρατηγοὶ τῶν
from this approaching the admirals and generals of-the
Ἑλλήνων, μάλιστα δὲ Χῖοι καὶ Σάμιοι καὶ Λέσβιοι,
Greeks most and Chians and Samians and Lesbians

τὸν Ἀριστείδην ἔπειθον ἀναδέξασθαι τὴν ἡγεμονίαν
— *Aristides urged to-take-up the leadership*
καὶ προσαγαγέσθαι τοὺς συμμάχους πάλαι δεομένους
and to-win-over the allies long asking
ἀπαλλαγῆναι τῶν Σπαρτιατῶν καὶ μετατάξασθαι πρὸς τοὺς
to-be-rid of-the Spartans and to-change-sides to the
Ἀθηναίους. ἀποκριναμένου δ' ἐκείνου τοῖς μὲν λόγοις αὐτῶν
Athenians having-answered and he to-the indeed words of-them
τό τε ἀναγκαῖον ἐνορᾶν καὶ τὸ δίκαιον, ἔργου δὲ δεῖσθαι
the both necessary to-see-in and the just of-deed and to-need
τὴν πίστιν, ὃ πραχθὲν οὐκ ἐάσει πάλιν μεταβαλέσθαι
the trust which done not will-allow again to-change
τοὺς πολλούς, οὕτως οἱ περὶ τὸν Σάμιον Οὐλιάδην
the many so those around the Samian Uliades
καὶ τὸν Χῖον Ἀνταγόραν συνομοσάμενοι περὶ Βυζάντιον
and the Chian Antagoras having-conspired near Byzantium
ἐμβάλλουσιν εἰς τὴν τριήρη τοῦ Παυσανίου, προεκπλέουσαν
ram into the trireme — of-Pausanias sailing-ahead
ἐν μέσῳ λαβόντες. ὡς δὲ κατιδὼν ἐκεῖνος ἐξανέστη καὶ
in middle having-caught-it when and having-seen he started-up and
μετ' ὀργῆς ἠπείλησεν ὀλίγῳ χρόνῳ τοὺς ἄνδρας ἐπιδείξειν
with anger threatened in-a-little time the men to-show
οὐκ εἰς τὴν αὐτοῦ ναῦν ἐμβεβληκότας, ἀλλ' εἰς τὰς ἰδίας
not into the his ship having-rammed but into the own
πατρίδας, ἐκέλευον αὐτὸν ἀπιέναι καὶ ἀγαπᾶν τὴν
fatherlands they-bade him to-go-away and to-be-content-with the
συναγωνισαμένην τύχην ἐν Πλαταιαῖς· ἐκείνην γὰρ ἔτι τοὺς
having-fought-with-him fortune at Plataea that for still the
Ἕλληνας αἰσχυνομένους μὴ λαμβάνειν ἀξίαν δίκην παρ'
Greeks being-ashamed-before not to-take worthy penalty from
αὐτοῦ· τέλος δ' ἀποστάντες ᾤχοντο πρὸς τοὺς Ἀθηναίους.
him finally and having-revolted they-went-off to the Athenians

Ἔνθα δὴ καὶ τὸ φρόνημα τῆς Σπάρτης διεφάνη
there indeed also the spirit — of-Sparta showed-through
θαυμαστόν. ὡς γὰρ ᾔσθοντο τῷ μεγέθει τῆς ἐξουσίας
admirable when for they-perceived by-the greatness of-the power
διαφθειρομένους αὐτῶν τοὺς ἄρχοντας, ἀφῆκαν ἑκουσίως
being-corrupted their the commanders they-gave-up willingly
τὴν ἡγεμονίαν καὶ πέμποντες ἐπὶ τὸν πόλεμον ἐπαύσαντο
the leadership and sending to the war they-stopped
στρατηγούς, μᾶλλον αἱρούμενοι σωφρονοῦντας ἔχειν καὶ
generals rather choosing sober to-have and
τοῖς ἔθεσιν ἐμμένοντας τοὺς πολίτας ἢ τῆς Ἑλλάδος
to-the customs abiding the citizens than — of-Greece
ἄρχειν ἁπάσης.
to-rule all
Οἱ δ' Ἕλληνες ἐτέλουν μέν τινα καὶ Λακεδαιμονίων 24
the and Greeks paid indeed some even with-Lacedaemonians
ἡγουμένων ἀποφορὰν εἰς τὸν πόλεμον, ταχθῆναι δὲ
leading contribution for the war to-be-assessed and
βουλόμενοι κατὰ πόλιν ἑκάστοις τὸ μέτριον ᾐτήσαντο παρὰ
wishing by city to-each the fair they-asked from
τῶν Ἀθηναίων Ἀριστείδην, καὶ προσέταξαν αὐτῷ χώραν
the Athenians Aristides and they-commissioned him land
τε καὶ προσόδους ἐπισκεψάμενον ὁρίσαι τὸ κατ' ἀξίαν
both and revenues having-examined to-fix the according-to worth
ἑκάστῳ καὶ δύναμιν. ὁ δὲ τηλικαύτης ἐξουσίας κύριος
for-each and power he and of-so-great authority master
γενόμενος καὶ τρόπον τινὰ τῆς Ἑλλάδος ἐπ' αὐτῷ μόνῳ
having-become and in-a-way some — of-Greece on him alone
τὰ πράγματα πάντα θεμένης, πένης μὲν ἐξῆλθεν, ἐπανῆλθε
the affairs all having-placed poor indeed went-out returned
δὲ πενέστερος, οὐ μόνον καθαρῶς καὶ δικαίως, ἀλλὰ
and poorer not only purely and justly but

καὶ προσφιλῶς πᾶσι καὶ ἁρμοδίως τὴν ἐπιγραφὴν τῶν
also agreeably to-all and suitably the assessment of-the
χρημάτων ποιησάμενος. ὡς γὰρ οἱ παλαιοὶ τὸν ἐπὶ
moneys having-made as for the ancients the in-the-time-of
Κρόνου βίον, οὕτως οἱ σύμμαχοι τῶν Ἀθηναίων τὸν
Cronus life so the allies of-the Athenians the
ἐπ᾽ Ἀριστείδου φόρον εὐποτμίαν τινὰ τῆς Ἑλλάδος
in-the-time-of Aristides tribute good-fortune some — of-Greece
ὀνομάζοντες ὕμνουν, καὶ μάλιστα μετ᾽ οὐ πολὺν χρόνον
naming praised and especially after not long time
διπλασιασθέντος, εἶτ᾽ αὖθις τριπλασιασθέντος. ὃν μὲν
having-been-doubled then again having-been-tripled which indeed
γὰρ Ἀριστείδης ἔταξεν, ἦν εἰς ἑξήκοντα καὶ τετρακοσίων
for Aristides fixed was to sixty and four-hundred
ταλάντων λόγον· τούτῳ δὲ Περικλῆς μὲν ἐπέθηκεν
talents amount to-this and Pericles indeed added
ὀλίγου δεῖν τὸ τρίτον μέρος· ἑξακόσια γὰρ τάλαντα
almost to-lack the third part six-hundred for talents
Θουκυδίδης φησὶν ἀρχομένου τοῦ πολέμου προσιέναι τοῖς
Thucydides says beginning the war to-come-in to-the
Ἀθηναίοις ἀπὸ τῶν συμμάχων· Περικλέους δ᾽ ἀποθανόντος
Athenians from the allies Pericles and having-died
ἐπιτείνοντες οἱ δημαγωγοὶ κατὰ μικρὸν εἰς χιλίων καὶ
raising the popular-leaders by little to a-thousand and
τριακοσίων ταλάντων κεφάλαιον ἀνήγαγον, οὐχ οὕτω τοῦ
three-hundred talents total brought-up not so the
πολέμου διὰ μῆκος καὶ τύχας δαπανηροῦ γενομένου καὶ
war through length and fortunes expensive having-become and
πολυτελοῦς, ὡς τὸν δῆμον εἰς διανομὰς καὶ θεωρικὰ καὶ
costly as the people to distributions and festival-money and
κατασκευὰς ἀγαλμάτων καὶ ἱερῶν προαγαγόντες.
constructions of-statues and of-shrines having-led-on

Μέγα δ᾽ οὖν ὄνομα τοῦ Ἀριστείδου καὶ θαυμαστὸν
great and then name — of-Aristides and admirable
ἔχοντος ἐπὶ τῇ διατάξει τῶν φόρων ὁ Θεμιστοκλῆς
having for the arrangement of-the tributes — Themistocles
λέγεται καταγελᾶν, ὡς οὐκ ἀνδρὸς ὄντα τὸν ἔπαινον, ἀλλὰ
is-said to-have-mocked as not of-a-man being the praise but
θυλάκου χρυσοφύλακος· ἀνομοίως ἀμυνόμενος τὴν Ἀριστείδου
of-a-purse gold-keeping unequally retaliating-for the of-Aristides
παρρησίαν· ἐκείνῳ γὰρ εἰπόντος ποτὲ τοῦ Θεμιστοκλέους
frankness to-him for having-said once — Themistocles
ἀρετὴν ἡγεῖσθαι μεγίστην στρατηγοῦ τὸ γινώσκειν καὶ
virtue to-consider greatest of-a-general the to-know and
προαισθάνεσθαι τὰ βουλεύματα τῶν πολεμίων, “Τοῦτο
to-perceive-beforehand the plans of-the enemies this
μέν,” εἰπεῖν, “ἀναγκαῖόν ἐστιν, ὦ Θεμιστόκλεις, καλὸν δὲ
indeed to-have-said necessary it-is O Themistocles fine but
καὶ στρατηγικὸν ἀληθῶς ἡ περὶ τὰς χεῖρας ἐγκράτεια.”
and generalship-like truly the about the hands self-control

Aristides bids the Athenians lay on him the perjury of a broken oath. He remains poor, and when Callias is tried, Aristides testifies to having refused his help; Plato counts him the one great Athenian who governed with a view to virtue. He bears Themistocles no grudge when Themistocles is accused. He dies in Pontus or at Athens, Craterus' story of a bribery conviction resting on no proof; he is buried at Phalerum at public cost, the city dowers his daughters and pensions his son, and some even make Myrto, who lived with Socrates, his granddaughter.

25 Ὁ δ' Ἀριστείδης ὤρκισε μὲν τοὺς Ἕλληνας καὶ ὤμοσεν
— and Aristides made-swear indeed the Greeks and swore
ὑπὲρ τῶν Ἀθηναίων, μύδρους ἐμβαλὼν ἐπὶ ταῖς
on-behalf-of the Athenians lumps-of-iron having-thrown after the
ἀραῖς εἰς τὴν θάλατταν, ὕστερον δὲ τῶν πραγμάτων
curses into the sea later and the circumstances
ἄρχειν ἐγκρατέστερον, ὡς ἔοικεν, ἐκβιαζομένων ἐκέλευε
to-rule more-firmly as it-seems compelling he-bade
τοὺς Ἀθηναίους τὴν ἐπιορκίαν τρέψαντας εἰς ἑαυτὸν
the Athenians the perjury having-turned upon himself
ᾗ συμφέρει χρῆσθαι τοῖς πράγμασι. καθ' ὅλου δ' ὁ
as is-expedient to-deal with-the affairs in general and —
Θεόφραστός φησι τὸν ἄνδρα τοῦτον περὶ τὰ οἰκεῖα
Theophrastus says the man this about the private-affairs
καὶ τοὺς πολίτας ἄκρως ὄντα δίκαιον ἐν τοῖς κοινοῖς
and the citizens supremely being just in the public-affairs
πολλὰ πρᾶξαι πρὸς τὴν ὑπόθεσιν τῆς πατρίδος, ὡς
many-things to-have-done in-view-of the policy of-the fatherland as
συχνῆς καὶ ἀδικίας δεομένην. καὶ γὰρ τὰ χρήματά φησιν
frequent also injustice needing and for the moneys he-says
ἐκ Δήλου βουλευομένων Ἀθήναζε κομίσαι παρὰ τὰς
from Delos deliberating to-Athens to-bring contrary-to the

συνθήκας, καὶ Σαμίων εἰσηγουμένων, εἰπεῖν ἐκεῖνον, ὡς
compacts and Samians proposing to-have-said him that
οὐ δίκαιον μέν, συμφέρον δὲ τοῦτ' ἐστί. καὶ τέλος εἰς
not just indeed expedient but this is and finally to
τὸ ἄρχειν ἀνθρώπων τοσούτων καταστήσας τὴν πόλιν
the to-rule men so-many having-brought the city
αὐτὸς ἐνέμεινε τῇ πενίᾳ καὶ τὴν ἀπὸ τοῦ πένης εἶναι
himself remained in-the poverty and the from the poor to-be
δόξαν οὐδὲν ἧττον ἀγαπῶν τῆς ἀπὸ τῶν τροπαίων
reputation no less loving than-the from the trophies
διετέλεσε. δῆλον δ' ἐκεῖθεν. Καλλίας ὁ δᾳδοῦχος ἦν
he-continued clear and from-this Callias the torch-bearer was
αὐτῷ γένει προσήκων· τοῦτον οἱ ἐχθροὶ θανάτου
to-him by-family related this-one the enemies on-a-capital-charge
διώκοντες, ἐπεὶ περὶ ὧν ἐγράψαντο μετρίως κατηγόρησαν,
prosecuting when about what they-had-indicted moderately they-had-accused
εἶπόν τινα λόγον ἔξωθεν τοιοῦτον πρὸς τοὺς δικαστάς·
said a-certain speech from-outside such to the judges
"Ἀριστείδην," ἔφησαν, "ἴστε τὸν Λυσιμάχου θαυμαζόμενον
Aristides they-said you-know the of-Lysimachus admired
ἐν τοῖς Ἕλλησι· τούτῳ πῶς οἴεσθε τὰ κατ' οἶκον
among the Greeks for-this-one how do-you-think the at home
ἔχειν ὁρῶντες αὐτὸν ἐν τρίβωνι τοιούτῳ προερχόμενον εἰς
to-be seeing him in cloak such going-forth into
τὸ δημόσιον; ἆρ' οὐκ εἰκός ἐστι τὸν ῥιγοῦντα φανερῶς
the public is not likely it-is the-one shivering openly
καὶ πεινᾶν οἴκοι καὶ τῶν ἄλλων ἐπιτηδείων σπανίζειν;
also to-be-hungry at-home and of-the other necessaries to-lack
τοῦτον μέντοι Καλλίας, ἀνεψιὸν ὄντα, πλουσιώτατος ὢν
this-one however Callias cousin being richest being
Ἀθηναίων περιορᾷ μετὰ τέκνων καὶ γυναικὸς ἐνδεόμενον,
of-Athenians overlooks with children and wife being-in-want

πολλὰ κεχρημένος τῷ ἀνδρὶ καὶ πολλάκις αὐτοῦ τῆς παρ᾽
much having-used the man and often his the among
ὑμῖν δυνάμεως ἀπολελαυκώς.” ὁ δὲ Καλλίας ὁρῶν ἐπὶ
you power having-enjoyed — and Callias seeing at
τούτῳ μάλιστα θορυβοῦντας τοὺς δικαστὰς καὶ χαλεπῶς
this most clamoring the judges and harshly
πρὸς αὐτὸν ἔχοντας ἐκάλει τὸν Ἀριστείδην, ἀξιῶν
toward him being-disposed called — Aristides asking
μαρτυρῆσαι πρὸς τοὺς δικαστάς, ὅτι πολλάκις αὐτοῦ
to-bear-witness to the judges that often him
πολλὰ καὶ διδόντος καὶ δεομένου λαβεῖν οὐκ ἠθέλησεν
much both giving and asking to-take not he-was-willing
ἀποκρινόμενος, ὡς μᾶλλον αὐτῷ διὰ πενίαν μέγα φρονεῖν
answering that more for-him through poverty greatly to-be-proud
ἢ Καλλίᾳ διὰ πλοῦτον προσήκει· πλούτῳ μὲν γὰρ
than for-Callias through wealth befits by-wealth indeed for
ἔστι πολλοὺς ἰδεῖν εὖ τε καὶ κακῶς χρωμένους, πενίαν
it-is-possible many to-see well both and badly using poverty
δὲ φέροντι γενναίως οὐ ῥᾴδιον ἐντυχεῖν· αἰσχύνεσθαι
and bearing nobly not easy to-meet-with to-be-ashamed
δὲ πενίαν τοὺς ἀκουσίως πενομένους. ταῦτα δὲ τοῦ
and of-poverty those unwillingly being-poor these-things and —
Ἀριστείδου τῷ Καλλίᾳ προσμαρτυρήσαντος οὐδεὶς ἦν τῶν
Aristides — for-Callias having-borne-witness no-one was of-those
ἀκουόντων, ὃς οὐκ ἀπῄει πένης μᾶλλον ὡς Ἀριστείδης
hearing who not went-away poor rather as Aristides
εἶναι βουλόμενος ἢ πλουτεῖν ὡς Καλλίας. ταῦτα μὲν
to-be wishing than to-be-rich as Callias these-things indeed
οὖν Αἰσχίνης ὁ Σωκρατικὸς ἀναγέγραφε. Πλάτων δὲ τῶν
then Aeschines the Socratic has-recorded Plato and of-the
μεγάλων δοκούντων καὶ ὀνομαστῶν Ἀθήνησι μόνον ἄξιον
great seeming and famous at-Athens alone worthy

λόγου τοῦτον ἀποφαίνει τὸν ἄνδρα· Θεμιστοκλέα μὲν
of-account this declares the man Themistocles indeed
γὰρ καὶ Κίμωνα καὶ Περικλέα στοῶν καὶ χρημάτων
for and Cimon and Pericles with-porticoes and money
καὶ φλυαρίας πολλῆς ἐμπλῆσαι τὴν πόλιν, Ἀριστείδην δὲ
and nonsense much to-have-filled the city Aristides but
πολιτεύσασθαι πρὸς ἀρετήν.
to-have-governed with-a-view-to virtue
Μεγάλα δ' αὐτοῦ καὶ τὰ πρὸς Θεμιστοκλέα τῆς
great and his also the toward Themistocles of-the
ἐπιεικείας σημεῖα. χρησάμενος γὰρ αὐτῷ παρὰ
fair-mindedness signs having-had for him through
πᾶσαν ὁμοῦ τὴν πολιτείαν ἐχθρῷ καὶ δι' ἐκεῖνον
all together the political-life as-enemy and through him
ἐξοστρακισθείς, ἐπεὶ τὴν αὐτὴν λαβὴν παρέσχεν ὁ ἀνὴρ
ostracized when the same hold gave the man
ἐν αἰτίᾳ γενόμενος πρὸς τὴν πόλιν, οὐκ ἐμνησικάκησεν,
in accusation having-been before the city not he-bore-a-grudge
ἀλλ' Ἀλκμαίωνος καὶ Κίμωνος καὶ πολλῶν ἄλλων
but Alcmaeon and Cimon and many others
ἐλαυνόντων καὶ κατηγορούντων μόνος Ἀριστείδης οὔτ'
persecuting and accusing alone Aristides neither
ἔπραξεν οὔτ' εἶπέ τι φαῦλον, οὐδ' ἀπέλαυσεν
did nor said anything mean nor took-pleasure-in
ἐχθροῦ δυστυχοῦντος, ὥσπερ οὐδ' εὐημεροῦντι πρότερον
an-enemy unfortunate as nor prospering formerly
ἐφθόνησε.
did-he-envy
Τελευτῆσαι δὲ Ἀριστείδην οἱ μὲν ἐν Πόντῳ φασὶν 26
to-have-died and Aristides the-ones indeed in Pontus say
ἐκπλεύσαντα πράξεων ἕνεκα δημοσίων, οἱ δ'
having-sailed-out affairs for-the-sake-of public the(-others) and

Ἀθήνησι γήρᾳ, τιμώμενον καὶ θαυμαζόμενον ὑπὸ τῶν
at-Athens of-old-age honored and admired by the
πολιτῶν. Κρατερὸς δ' ὁ Μακεδὼν τοιαῦτά τινα
citizens Craterus and the Macedonian such some-things
περὶ τῆς τελευτῆς τοῦ ἀνδρὸς εἴρηκε. μετὰ γὰρ τὴν
about the end of-the man has-said after for the
Θεμιστοκλέους φυγήν φησιν ὥσπερ ἐξυβρίσαντα τὸν δῆμον
of-Themistocles exile he-says as-if having-run-riot the people
ἀναφῦσαι πλῆθος συκοφαντῶν, οἳ τοὺς ἀρίστους καὶ
to-have-sprouted a-crowd of-informers who the best and
δυνατωτάτους ἄνδρας διώκοντες ὑπέβαλλον τῷ φθόνῳ
most-powerful men prosecuting exposed to-the envy
τῶν πολλῶν ἐπαιρομένων ὑπ' εὐτυχίας καὶ δυνάμεως.
of-the many being-elated by good-fortune and power
ἐν τούτοις καὶ Ἀριστείδην ἁλῶναι δωροδοκίας,
among these also Aristides to-have-been-convicted of-bribery
Διοφάντου τοῦ Ἀμφιτροπῆθεν κατηγοροῦντος, ὡς, ὅτε τοὺς
Diophantus — of-Amphitrope accusing that when the
φόρους ἔταττε, παρὰ τῶν Ἰώνων χρήματα λαβόντος·
tributes he-assessed from the Ionians money having-taken
ἐκτῖσαι δ' οὐκ ἔχοντα τὴν καταδίκην πεντήκοντα μνῶν
to-pay and not being-able the fine fifty minas
οὖσαν ἐκπλεῦσαι καὶ περὶ τὴν Ἰωνίαν ἀποθανεῖν.
being to-have-sailed-away and about — Ionia to-have-died
τούτων δὲ οὐδὲν ἔγγραφον ὁ Κρατερὸς τεκμήριον
of-these and nothing written — Craterus proof
παρέσχηκεν, οὔτε δίκην οὔτε ψήφισμα, καίπερ εἰωθὼς
has-provided neither suit nor decree though being-accustomed
ἐπιεικῶς γράφειν τὰ τοιαῦτα καὶ παρατίθεσθαι τοὺς
fairly to-write the such-things and to-cite the
ἱστοροῦντας.
historians

Οἱ δ᾽ ἄλλοι πάντες, ὡς ἔπος εἰπεῖν, ὅσοι τὰ
the and others all so-to word say as-many-as the
πλημμεληθέντα τῷ δήμῳ περὶ τοὺς στρατηγοὺς διεξίασι,
offenses by-the people toward the generals go-through
τὴν μὲν Θεμιστοκλέους φυγὴν καὶ τὰ Μιλτιάδου
the indeed of-Themistocles exile and the of-Miltiades
δεσμὰ καὶ τὴν Περικλέους ζημίαν καὶ τὸν Πάχητος
chains and the of-Pericles fine and the of-Paches
ἐν τῷ δικαστηρίῳ θάνατον, ἀνελόντος αὐτὸν ἐπὶ
in the court death having-killed himself on
τοῦ βήματος ὡς ἡλίσκετο, καὶ πολλὰ τοιαῦτα
the tribunal when he-was-being-convicted and many such-things
συνάγουσι καὶ θρυλοῦσιν, Ἀριστείδου δὲ τὸν μὲν
collect and harp-on of-Aristides and the indeed
ἐξοστρακισμὸν παρατίθενται, καταδίκης δὲ τοιαύτης
ostracism they-cite of-conviction but such
οὐδαμοῦ μνημονεύουσι.
nowhere make-mention
Καὶ μέντοι καὶ τάφος ἐστὶν αὐτοῦ Φαληροῖ δεικνύμενος, 27
and however also a-tomb is his at-Phalerum shown
ὅν φασι κατασκευάσαι τὴν πόλιν αὐτῷ μηδ᾽ ἐντάφια
which they-say built the city for-him not-even burial-means
καταλιπόντι. καὶ τὰς μὲν θυγατέρας ἱστοροῦσιν ἐκ τοῦ
having-left and the indeed daughters they-record from the
πρυτανείου τοῖς νυμφίοις ἐκδοθῆναι δημοσίᾳ,
prytaneum to-the bridegrooms to-have-been-given-in-marriage publicly
τῆς πόλεως τὸν γάμον ἐγγυώσης καὶ προῖκα τρισχιλίας
the city the marriage pledging and a-dowry three-thousand
δραχμὰς ἑκατέρᾳ ψηφισαμένης, Λυσιμάχῳ δὲ τῷ υἱῷ
drachmas to-each having-voted to-Lysimachus and the son
μνᾶς μὲν ἑκατὸν ἀργυρίου καὶ γῆς τοσαῦτα πλέθρα
minas indeed a-hundred of-silver and of-land as-many plethra

πεφυτευμένης ἔδωκεν ὁ δῆμος, ἄλλας δὲ δραχμὰς
planted gave the people other and drachmas
τέσσαρας εἰς ἡμέραν ἑκάστην ἀπέταξεν, Ἀλκιβιάδου
four for day each it-assigned Alcibiades
τὸ ψήφισμα γράψαντος. ἔτι δὲ Λυσιμάχου θυγατέρα
the decree having-proposed further and Lysimachus a-daughter
Πολυκρίτην ἀπολιπόντος, ὡς Καλλισθένης φησί, καὶ
Polycrite having-left as Callisthenes says also
ταύτῃ σίτησιν ὅσην καὶ τοῖς Ὀλυμπιονίκαις ὁ δῆμος
to-this-one maintenance as-much-as also to-the Olympic-victors the people
ἐψηφίσατο. Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ
voted Demetrius and the Phalerean and Hieronymus the
Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης (εἰ
Rhodian and Aristoxenus the musician and Aristotle if
δὴ τό γε Περὶ εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις
indeed the at-least On noble-birth book among the genuine
Ἀριστοτέλους θετέον) ἱστοροῦσι Μυρτὼ θυγατριδῆν
of-Aristotle is-to-be-placed record Myrto granddaughter
Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα
of-Aristides with-Socrates the wise to-have-lived-together a-wife
μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν
indeed another having this-one and having-taken-in widowed
διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. πρὸς
through poverty and of-the necessities in-want against
μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ
indeed then these adequately — Panaetius in his On
Σωκράτους ἀντείρηκεν· ὁ δὲ Φαληρεὺς ἐν τῷ Σωκράτει
Socrates has-replied the and Phalerean in his Socrates
φησὶ μνημονεύειν Ἀριστείδου θυγατριδοῦν εὖ μάλα
says to-remember of-Aristides a-grandson quite very
πένητα Λυσίμαχον, ὃς ἑαυτὸν μὲν ἐκ πινακίου τινὸς
poor Lysimachus who himself indeed from a-tablet some

ὀνειροκριτικοῦ παρὰ τὸ Ἰακχεῖον λεγόμενον καθεζόμενος
dream-interpreting beside — Iaccheum called sitting
ἔβοσκε. τῇ δὲ μητρὶ καὶ τῇ ταύτης ἀδελφῇ ψήφισμα
supported to-the and mother and to-the her sister a-decree
γράψας ἔπεισε τὸν δῆμον τροφὴν διδόναι τριώβολον
having-proposed he-persuaded the people maintenance to-give three-obols
ἑκάστης ἡμέρας. αὐτὸς μέντοι φησὶν ὁ Δημήτριος
of-each day himself however says — Demetrius
νομοθετῶν ἀντὶ τριωβόλου δραχμὴν ἑκατέρᾳ τάξαι
legislating instead-of three-obols a-drachma for-each to-have-fixed
τῶν γυναικῶν.
of-the women
Καὶ οὐδέν ἐστι θαυμαστὸν οὕτω φροντίσαι τῶν ἐν
and nothing is surprising so to-have-cared-for those in
ἄστει τὸν δῆμον, ὅπου θυγατριδῆν Ἀριστογείτονος
town the people where a-granddaughter of-Aristogeiton
ἐν Λήμνῳ πυθόμενοι ταπεινὰ πράττειν ἀνδρὸς
in Lemnos having-learned humbly to-fare of-a-husband
ἀπορουῦσαν διὰ πενίαν κατήγαγον Ἀθήναζε, καὶ
at-a-loss through poverty they-brought-back to-Athens and
συνοικίσαντες ἀνδρὶ τῶν εὖ γεγονότων τὸ Ποταμοῖ
having-married to-a-man of-the well born the at-Potami
χωρίον εἰς φερνὴν ἐπέδωκαν. ἧς φιλανθρωπίας
estate as dowry gave of-which humanity
καὶ χρηστότητος ἔτι πολλὰ καὶ καθ' ἡμᾶς ἡ
and goodness still many and in our-time the
πόλις ἐκφέρουσα δείγματα θαυμάζεται καὶ ζηλοῦται
city displaying examples is-admired and is-emulated
δικαίως.
justly

PLUTARCH

ΑΛΚΙΒΙΑΔΗΣ

Alcibiades

Alcibiades descends from Ajax's son Eurysaces and, on his mother's side, from the Alcmaeonids; his father Cleinias falls at Coroneia, and Pericles and Ariphron are his guardians. His beauty lasts through every age, and even his lisp is charming, as Aristophanes shows. As a boy he bites in a wrestling match like a lion, lies down before a wagon, and refuses the flute. Of his many lovers he welcomes Socrates, who rebukes his conceit, and treats the rest with insolence: he carries off half of Anytus' cups, and Anytus calls it kindness.

Τὸ Ἀλκιβιάδου γένος ἄνωθεν Εὐρυσάκην τὸν Αἴαντος 1
the of-Alcibiades family from-above Eurysaces — son-of-Ajax
ἀρχηγὸν ἔχειν δοκεῖ, πρὸς δὲ μητρὸς Ἀλκμαιωνίδης
as-founder to-have seems on and mother's-side an-Alcmaeonid
ἦν, ἐκ Δεινομάχης γεγονὼς τῆς Μεγακλέους. ὁ δὲ
he-was from Deinomache born the daughter-of-Megacles the and
πατὴρ αὐτοῦ Κλεινίας ἰδιοστόλῳ τριήρει περὶ Ἀρτεμίσιον
father his Cleinias with-a-private trireme off Artemisium
ἐνδόξως ἐναυμάχησεν, ὕστερον δὲ Βοιωτοῖς μαχόμενος
gloriously fought-at-sea later and Boeotians fighting
περὶ Κορώνειαν ἀπέθανε. τοῦ δὲ Ἀλκιβιάδου Περικλῆς
near Coroneia died — and of-Alcibiades Pericles
καὶ Ἀρίφρων οἱ Ξανθίππου, προσήκοντες κατὰ γένος,
and Ariphron — sons-of-Xanthippus related by family
ἐπετρόπευον.
were-guardians

Λέγεται δ' οὐ κακῶς ὅτι τῆς Σωκράτους πρὸς αὐτὸν
it-is-said and not badly that from-the of-Socrates toward him
εὐνοίας καὶ φιλανθρωπίας οὐ μικρὰ πρὸς δόξαν ἀπέλαυσεν,
goodwill and kindness not small toward fame he-gained
εἴγε Νικίου μὲν καὶ Δημοσθένους καὶ Λαμάχου καὶ
since-indeed of-Nicias indeed and of-Demosthenes and of-Lamachus and

Φορμίωνος Θρασυβούλου τε καὶ Θηραμένους, ἐπιφανῶν
of-Phormio of-Thrasybulus both and of-Theramenes illustrious
ἀνδρῶν γενομένων κατ᾽ αὐτόν, οὐδενὸς οὐδ᾽ ἡ μήτηρ
men having-been in his-time of-none not-even the mother
ὀνόματος τετύχηκεν, Ἀλκιβιάδου δὲ καὶ τίτθην, γένος
a-name has-obtained of-Alcibiades but even nurse by-race
Λάκαιναν, Ἀμύκλαν ὄνομα, καὶ Ζώπυρον παιδαγωγὸν ἴσμεν,
Laconian Amycla by-name and Zopyrus tutor we-know
ὧν τὸ μὲν Ἀντισθένης, τὸ δὲ Πλάτων ἱστόρηκε.
of-whom the-one indeed Antisthenes the-other and Plato has-recorded
Περὶ μὲν οὖν τοῦ κάλλους Ἀλκιβιάδου οὐδὲν ἴσως δεῖ
about indeed then the beauty of-Alcibiades nothing perhaps it-is-needful
λέγειν, πλὴν ὅτι καὶ παῖδα καὶ μειράκιον καὶ ἄνδρα πάσῃ
to-say except that both as-a-boy and as-a-youth and as-a-man with-every
συνανθῆσαν τῇ ἡλικίᾳ καὶ ὥρᾳ τοῦ σώματος ἐράσμιον καὶ
having-bloomed the age and season of-the body lovely and
ἡδὺν παρέσχεν. οὐ γάρ, ὡς Εὐριπίδης ἔλεγε, πάντων τῶν
pleasant it-made-him not for as Euripides said of-all the
καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν, ἀλλὰ τοῦτο
beautiful-things even the autumn beautiful is but this
Ἀλκιβιάδῃ μετ᾽ ὀλίγων ἄλλων δι᾽ εὐφυΐαν καὶ ἀρετὴν
to-Alcibiades with few others through good-nature and excellence
σώματος ὑπῆρξε. τῇ δὲ φωνῇ καὶ τὴν τραυλότητα
of-body belonged to-the and voice also the lisp
ἐμπρέψαι λέγουσι καὶ τῷ λάλῳ πιθανότητα παρασχεῖν
to-have-suited they-say and to-the talk persuasiveness to-have-given

χάριν ἐπιτελοῦσαν. μέμνηται δὲ καὶ Ἀριστοφάνης αὐτοῦ
charm accomplishing makes-mention and also Aristophanes of-his
τῆς τραυλότητος ἐν οἷς ἐπισκώπτει Θέωρον·
the lisp in which-lines he-mocks Theorus

Εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας·
then Alcibiades said to me lisping
"ὁλᾷς Θέωλον; τὴν κεφαλὴν κόλακος ἔχει."
do-you-thee Theoluth the head of-a-flatterer he-has
ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.
rightly at-least this Alcibiades lisped

καὶ Ἄρχιππος τὸν υἱὸν τοῦ Ἀλκιβιάδου σκώπτων·
and Archippus the son — of-Alcibiades mocking
"Βαδίζει," φησί, "διακεχλιδώς, θοιμάτιον ἕλκων, ὅπως
he-walks he-says languidly the-cloak trailing so-that
ἐμφερὴς μάλιστα τῷ πατρὶ δόξειεν εἶναι,
like most to-the father he-might-seem to-be

Κλασαυχενεύεταί τε καὶ τραυλίζεται."
he-bends-his-neck both and lisps

Τὸ δ' ἦθος αὐτοῦ πολλὰς μὲν ὕστερον, ὡς εἰκὸς ἐν 2
the and character his many indeed later as is-likely in
πράγμασι μεγάλοις καὶ τύχαις πολυτρόποις, ἀνομοιότητας
affairs great and fortunes manifold inconsistencies
πρὸς αὑτὸ καὶ μεταβολὰς ἐπεδείξατο. φύσει δὲ πολλῶν
toward itself and changes displayed by-nature and many
ὄντων καὶ μεγάλων παθῶν ἐν αὐτῷ, τὸ φιλόνεικον
being and great passions in him the love-of-contention

ἰσχυρότατον ἦν καὶ τὸ φιλόπρωτον, ὡς δῆλόν ἐστι τοῖς
strongest was and the love-of-first-place as clear is from-the
παιδικοῖς ἀπομνημονεύμασιν.
boyhood anecdotes
Ἐν μὲν γὰρ τῷ παλαίειν πιεζούμενος, ὑπὲρ τοῦ μὴ πεσεῖν
in indeed for the to-wrestle being-hard-pressed for the not to-fall
ἀναγαγὼν πρὸς τὸ στόμα τὰ ἄμματα τοῦ πιεζοῦντος,
having-brought-up to the mouth the holds of-the one-pressing
οἷος ἦν διαφαγεῖν τὰς χεῖρας. ἀφέντος δὲ τὴν λαβὴν
such-as he-was to-bite-through the hands having-let-go and the hold
ἐκείνου καὶ εἰπόντος· "Δάκνεις, ὦ Ἀλκιβιάδη, καθάπερ
that-one and having-said you-bite O Alcibiades like
αἱ γυναῖκες," "Οὐκ ἔγωγε," εἶπεν, "ἀλλ' ὡς οἱ λέοντες."
the women not I he-said but as the lions
Ἔτι δὲ μικρὸς ὢν ἔπαιζεν ἀστραγάλοις ἐν τῷ στενωπῷ,
still and small being he-was-playing with-knucklebones in the narrow-street
τῆς δὲ βολῆς καθηκούσης εἰς αὐτὸν ἅμαξα φορτίων
the and throw having-come to him a-wagon of-loads
ἐπήει. πρῶτον μὲν οὖν ἐκέλευε περιμεῖναι τὸν ἄγοντα
was-coming-on first indeed then he-bade to-wait the driver
τὸ ζεῦγος· ὑπέπιπτε γὰρ ἡ βολὴ τῇ παρόδῳ τῆς ἁμάξης·
the team fell-under for the throw at-the passing of-the wagon
μὴ πειθομένου δὲ δι' ἀγροικίαν, ἀλλ' ἐπάγοντος, οἱ μὲν
not obeying and through boorishness but driving-on the indeed
ἄλλοι παῖδες διέσχον, ὁ δ' Ἀλκιβιάδης καταβαλὼν ἐπὶ
other boys stood-apart — and Alcibiades having-thrown-himself on
στόμα πρὸ τοῦ ζεύγους καὶ παρατείνας ἑαυτόν, ἐκέλευεν
face before the team and having-stretched-out himself bade
οὕτως, εἰ βούλεται, διεξελθεῖν, ὥστε τὸν μὲν ἄνθρωπον

ἀνακροῦσαι τὸ ζεῦγος ὀπίσω δείσαντα, τοὺς δ' ἰδόντας
to-have-backed the team back having-feared those and having-seen
ἐκπλαγῆναι καὶ μετὰ βοῆς συνδραμεῖν πρὸς αὐτόν.
to-be-struck and with shouting to-run-together to him
Ἐπεὶ δὲ εἰς τὸ μανθάνειν ἦκε, τοῖς μὲν ἄλλοις ὑπήκουε
when and to the learning he-came the indeed other he-obeyed
διδασκάλοις ἐπιεικῶς, τὸ δ' αὐλεῖν ἔφευγεν ὡς ἀγεννὲς
teachers fairly the and to-play-the-flute he-shunned as ignoble
καὶ ἀνελεύθερον· πλήκτρου μὲν γὰρ καὶ λύρας χρῆσιν
and illiberal of-plectrum indeed for and lyre use
οὐδὲν οὔτε σχήματος οὔτε μορφῆς ἐλευθέρῳ πρεπούσης
nothing neither of-bearing nor of-form to-a-free-man befitting
διαφθείρειν, αὐλοὺς δὲ φυσῶντος ἀνθρώπου στόματι καὶ
to-ruin flutes but blowing a-man with-mouth even
τοὺς συνήθεις ἂν πάνυ μόλις διαγνῶναι τὸ πρόσωπον.
the acquaintances — very hardly to-recognize the face
ἔτι δὲ τὴν μὲν λύραν τῷ χρωμένῳ συμφθέγγεσθαι
further and the indeed lyre with-the user to-sound-together
καὶ συνᾴδειν, τὸν δ' αὐλὸν ἐπιστομίζειν καὶ ἀποφράττειν
and to-sing-with the but flute to-stop-the-mouth and to-block
ἕκαστον τήν τε φωνὴν καὶ τὸν λόγον ἀφαιρούμενον.
each the both voice and the speech taking-away
"Αὐλείτωσαν οὖν," ἔφη, "Θηβαίων παῖδες· οὐ γὰρ
let-them-play-the-flute then he-said of-Thebans children not for
ἴσασι διαλέγεσθαι· ἡμῖν δὲ τοῖς Ἀθηναίοις, ὡς οἱ
they-know-how to-converse for-us but the Athenians as the
πατέρες λέγουσιν, ἀρχηγέτις Ἀθηνᾶ καὶ πατρῷος Ἀπόλλων
fathers say founder Athena and ancestral Apollo
ἐστίν, ὧν ἡ μὲν ἔρριψε τὸν αὐλόν, ὁ δὲ καὶ τὸν
is of-whom the one threw-away the flute the other even the
αὐλητὴν ἐξέδειρεν." τοιαῦτα παίζων ἅμα καὶ σπουδάζων ὁ
flute-player flayed such-things jesting at-once and being-serious —

Ἀλκιβιάδης αὑτόν τε τοῦ μαθήματος ἀπέστησε καὶ τοὺς
Alcibiades himself both from-the lesson withdrew and the
ἄλλους. ταχὺ γὰρ διῆλθε λόγος εἰς τοὺς παῖδας ὡς εὖ
others quickly for went-through word to the boys that well
ποιῶν ὁ Ἀλκιβιάδης βδελύττοιτο τὴν αὐλητικὴν καὶ χλευάζοι
doing — Alcibiades loathed the flute-playing and mocked
τοὺς μανθάνοντας. ὅθεν ἐξέπεσε κομιδῇ τῶν ἐλευθέρων
those learning whence fell-out utterly from-the liberal
διατριβῶν καὶ προεπηλακίσθη παντάπασιν ὁ αὐλός.
pursuits and was-insulted altogether the flute

3 Ἐν δὲ ταῖς Ἀντιφῶντος λοιδορίαις γέγραπται ὅτι παῖς ὤν,
in and the of-Antiphon invectives it-is-written that a-boy being
ἐκ τῆς οἰκίας ἀπέδρα πρὸς Δημοκράτη τινὰ τῶν ἐραστῶν·
from the house he-ran-away to Democrates a-certain of-the lovers
βουλομένου δ' αὐτὸν ἀποκηρύττειν Ἀρίφρονος, Περικλῆς
wishing and him to-disown Ariphron Pericles
οὐκ εἴασεν, εἰπών· εἰ μὲν τέθνηκεν, ἡμέρᾳ μιᾷ διὰ τὸ
not allowed having-said if indeed he-has-died in-day one through the
κήρυγμα φανεῖσθαι πρότερον, εἰ δὲ σῶς ἐστιν, ἄσωστον
proclamation he-will-appear sooner if but safe he-is past-saving
αὐτῷ τὸν λοιπὸν βίον ἔσεσθαι· καὶ ὅτι τῶν ἀκολουθούντων
for-him the remaining life will-be and that of-the attendants
τινὰ κτείνειεν ἐν τῇ Σιβυρτίου παλαίστρᾳ ξύλῳ πατάξας.
one he-killed in the of-Sibyrtius wrestling-school with-a-stick having-struck
ἀλλὰ τούτοις μὲν οὐκ ἄξιον ἴσως πιστεύειν, ἅ γε
but these indeed not worth perhaps to-believe what at-least
λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν εἶπεν.
to-revile one him through enmity admitting said

4 Ἤδη δὲ πολλῶν καὶ γενναίων ἀθροιζομένων καὶ
already and many and well-born gathering and
περιεπόντων, οἱ μὲν ἄλλοι καταφανεῖς ἦσαν τὴν
courting-him the indeed others manifest were the

λαμπρότητα τῆς ὥρας ἐκπεπληγμένοι καὶ θεραπεύοντες,
splendor of-the bloom dazzled-by and paying-court
ὁ δὲ Σωκράτους ἔρως μέγα μαρτύριον ἦν τῆς ἀρετῆς
the but of-Socrates love great testimony was of-the excellence
καὶ εὐφυΐας τοῦ παιδός, ἣν ἐμφαινομένην τῷ εἴδει καὶ
and good-nature of-the boy which showing-forth in-the form and
διαλάμπουσαν ἐνορῶν, φοβούμενος δὲ τὸν πλοῦτον καὶ τὸ
shining-through perceiving fearing and the wealth and the
ἀξίωμα καὶ τὸν προκαταλαμβάνοντα κολακείαις καὶ χάρισιν
rank and the anticipating with-flatteries and favors
ἀστῶν καὶ ξένων καὶ συμμάχων ὄχλον, οἷος ἦν ἀμύνειν
of-townsmen and strangers and allies throng such-as he-was to-defend
καὶ μὴ περιορᾶν ὡς φυτὸν ἐν ἄνθει τὸν οἰκεῖον καρπὸν
and not to-overlook as a-plant in flower the own fruit
ἀποβάλλον καὶ διαφθεῖρον. οὐδένα γὰρ ἡ τύχη περιέσχεν
casting-off and spoiling no-one for the fortune surrounded
ἔξωθεν καὶ περιέφραξε τοῖς λεγομένοις ἀγαθοῖς τοσοῦτον
from-outside and fenced-around with-the so-called goods so-much
ὥστ᾽ ἄτρωτον ὑπὸ φιλοσοφίας γενέσθαι, καὶ λόγοις
so-that invulnerable by philosophy to-become and to-words
ἀπρόσιτον παρρησίαν καὶ δηγμὸν ἔχουσιν· ὡς Ἀλκιβιάδης
inaccessible frankness and sting having as Alcibiades
εὐθὺς ἐξ ἀρχῆς θρυπτόμενος καὶ ἀποκλειόμενος ὑπὸ
at-once from the-beginning pampered and shut-out by
τῶν πρὸς χάριν ἐξομιλούντων εἰσακοῦσαι τοῦ νουθετοῦντος
those for favor associating to-listen-to the one-admonishing
καὶ παιδεύοντος, ὅμως ὑπ᾽ εὐφυΐας ἐγνώρισε Σωκράτη
and educating nevertheless through good-nature he-recognized Socrates
καὶ προσήκατο, διασχὼν τοὺς πλουσίους καὶ ἐνδόξους
and admitted having-parted-from the rich and famous
ἐραστάς. ταχὺ δὲ ποιησάμενος συνήθη, καὶ λόγων ἀκούσας
lovers quickly and having-made intimate and words having-heard

οὐχ ἡδονὴν ἄνανδρον ἐραστοῦ θηρεύοντος, οὐδὲ φιλημάτων
not pleasure unmanly of-a-lover hunting nor kisses
καὶ ψαύσεως προσαιτοῦντος, ἀλλ' ἐλέγχοντος τὸ σαθρὸν τῆς
and touching begging but exposing the unsound of-the
ψυχῆς αὐτοῦ καὶ πιεζοῦντος τὸν κενὸν καὶ ἀνόητον τῦφον,
soul his and repressing the empty and foolish conceit

Ἔπτηξ' ἀλέκτωρ δοῦλος ὡς κλίνας πτερόν.
crouched the-cock slave like having-bent wing

καὶ τὸ μὲν Σωκράτους ἡγήσατο πρᾶγμα τῷ ὄντι θεῶν
and the indeed of-Socrates he-considered affair in-the being of-gods
ὑπηρεσίαν εἰς νέων ἐπιμέλειαν εἶναι καὶ σωτηρίαν·
a-service for of-young-men care to-be and saving
καταφρονῶν δ' αὐτὸς ἑαυτοῦ, θαυμάζων δ' ἐκεῖνον,
despising and himself himself admiring and that-one
ἀγαπῶν δὲ τὴν φιλοφροσύνην, αἰσχυνόμενος δὲ τὴν
loving and the kindliness revering and the
ἀρετήν, ἐλάνθανεν εἴδωλον ἔρωτος, ὥς φησιν ὁ Πλάτων,
virtue he-escaped-notice an-image of-love as says — Plato
ἀντέρωτα κτώμενος, ὥστε θαυμάζειν ἅπαντας ὁρῶντας
a-counter-love acquiring so-that to-marvel all seeing
αὐτὸν Σωκράτει μὲν συνδειπνοῦντα καὶ συμπαλαίοντα
him with-Socrates indeed dining and wrestling
καὶ συσκηνοῦντα, τοῖς δ' ἄλλοις ἐρασταῖς χαλεπὸν ὄντα
and tenting-together to-the and other lovers harsh being
καὶ δυσχείρωτον, ἐνίοις δὲ καὶ παντάπασι σοβαρῶς
and hard-to-subdue to-some and even altogether insolently
προσφερόμενον, ὥσπερ Ἀνύτῳ τῷ Ἀνθεμίωνος.
behaving as to-Anytus — son-of-Anthemion

Ἐτύγχανε μὲν γὰρ ἐρῶν τοῦ Ἀλκιβιάδου, ξένους δέ τινας
happened indeed for loving — Alcibiades strangers and some
ἑστιῶν ἐκάλει κἀκεῖνον ἐπὶ τὸ δεῖπνον. ὁ δὲ τὴν μὲν κλῆσιν
entertaining he-invited also-him to the dinner he and the indeed invitation
ἀπείπατο, μεθυσθεὶς δ' οἴκοι μετὰ τῶν ἑταίρων ἐκώμασε
refused having-got-drunk and at-home with the companions he-went-reveling
πρὸς τὸν Ἄνυτον, καὶ ταῖς θύραις ἐπιστὰς τοῦ ἀνδρῶνος
to — Anytus and at-the doors having-stood of-the men's-hall
καὶ θεασάμενος ἀργυρῶν ἐκπωμάτων καὶ χρυσῶν πλήρεις
and having-seen of-silver cups and gold full
τὰς τραπέζας, ἐκέλευσε τοὺς παῖδας τὰ ἡμίση λαβόντας
the tables he-bade the slaves the halves having-taken
οἴκαδε κομίζειν πρὸς αὐτόν, εἰσελθεῖν δ' οὐκ ἠξίωσεν, ἀλλὰ
home to-carry to himself to-go-in but not he-deigned but
ταῦτα πράξας ἀπῆλθε. τῶν οὖν ξένων δυσχεραινόντων
these-things having-done went-away the then strangers being-indignant
καὶ λεγόντων ὡς ὑβριστικῶς καὶ ὑπερηφάνως εἴη τῷ
and saying how insolently and arrogantly had —
Ἀνύτῳ κεχρημένος ὁ Ἀλκιβιάδης, "Ἐπιεικῶς μὲν οὖν,"
to-Anytus behaved — Alcibiades fairly indeed then
ὁ Ἄνυτος ἔφη, "καὶ φιλανθρώπως· ἃ γὰρ ἐξῆν αὐτῷ
— Anytus said and humanely what for was-possible for-him
λαβεῖν ἅπαντα, τούτων ἡμῖν τὰ μέρη καταλέλοιπεν."
to-take all of-these to-us the parts he-has-left

A poor metic offers Alcibiades all he has, and Alcibiades makes him rich by a trick on the tax-farmers. Socrates checks his vanity and wins his devotion, though he sometimes slips away to the flatterers and is hunted down like a runaway slave. He strikes a schoolmaster who has no Homer, and told that Pericles is busy considering how to render his accounts, he says Pericles would do better to consider how not to. At Potidaea Socrates saves him and yields him the prize, and at Delium he guards Socrates in the retreat. He strikes Hipponicus, then offers himself to be flogged and marries his daughter Hipparete; when she seeks a divorce he carries her home.

Οὕτω δὲ καὶ τοῖς ἄλλοις ἐρασταῖς ἐχρῆτο· πλὴν ἕνα
so and also the other lovers he-treated except one
μετοικικὸν ἄνθρωπον, ὡς φασιν, οὐ πολλὰ κεκτημένον,
resident-alien man as they-say not much possessing
ἀποδόμενον δὲ πάντα καὶ τὸ συναχθὲν εἰς ἑκατὸν
having-sold and everything and the collected to a-hundred
στατῆρας τῷ Ἀλκιβιάδῃ προσφέροντα καὶ δεόμενον
staters — to-Alcibiades offering and begging
λαβεῖν, γελάσας καὶ ἡσθεὶς ἐκάλεσεν ἐπὶ δεῖπνον.
to-take having-laughed and having-been-pleased he-invited to dinner
ἑστιάσας δὲ καὶ φιλοφρονηθεὶς τό τε χρυσίον ἀπέδωκεν
having-feasted and and having-shown-kindness the both gold gave-back
αὐτῷ, καὶ προσέταξε τῇ ὑστεραίᾳ τοὺς ὠνουμένους τὰ
to-him and ordered on-the next-day those buying the
τέλη τὰ δημόσια ταῖς τιμαῖς ὑπερβάλλειν ἀντωνούμενον.
taxes the public with-the bids to-outbid bidding-against
παραιτουμένου δὲ τοῦ ἀνθρώπου διὰ τὸ πολλῶν
begging-off and the man because-of the of-many
ταλάντων εἶναι τὴν ὠνήν, ἠπείλησε μαστιγώσειν εἰ
talents to-be the purchase he-threatened to-flog-him if
μὴ ταῦτα πράττοι· καὶ γὰρ ἐτύγχανεν ἐγκαλῶν
not these-things he-did and for he-happened having-complaint

τι τοῖς τελώναις ἴδιον. ἔωθεν οὖν προελθὼν ὁ
some against-the tax-farmers private at-dawn then having-come-forward the
μέτοικος εἰς ἀγορὰν ἐπέθηκε τῇ ὠνῇ τάλαντον. ἐπεὶ
alien into market-place added to-the purchase a-talent when
δ' οἱ τελῶναι συστρεφόμενοι καὶ ἀγανακτοῦντες ἐκέλευον
and the tax-farmers combining and being-indignant bade
ὀνομάζειν ἐγγυητήν, ὡς οὐκ ἂν εὑρόντος, θορυβουμένου
to-name a-surety as not — finding being-confused
τοῦ ἀνθρώπου καὶ ἀναχωροῦντος, ἑστὼς ὁ Ἀλκιβιάδης
the man and withdrawing standing — Alcibiades
ἄπωθεν πρὸς τοὺς ἄρχοντας, "Ἐμὲ γράψατ'," ἔφη, "ἐμὸς
at-a-distance to the magistrates me write-down he-said my
φίλος ἐστίν, ἐγγυῶμαι." ταῦτ' ἀκούσαντες οἱ τελῶναι
friend he-is I-stand-surety these-things having-heard the tax-farmers
ἐξηπορήθησαν. εἰωθότες γὰρ ἀεὶ ταῖς δευτέραις ὠναῖς
were-at-a-loss being-accustomed for always with-the second purchases
χρεωλυτεῖν τὰς πρώτας, οὐχ ἑώρων ἀπαλλαγὴν αὑτοῖς
to-pay-off-debt-for the first not they-saw release for-them
οὖσαν τοῦ πράγματος. ἐδέοντο δὴ τοῦ ἀνθρώπου
being from-the affair they-begged indeed the man
ἀργύριον διδόντες· ὁ δ' Ἀλκιβιάδης οὐκ εἴα λαβεῖν
money offering — and Alcibiades not allowed to-take
ἔλαττον ταλάντου. διδόντων δὲ τὸ τάλαντον ἐκέλευσεν
less than-a-talent giving and the talent he-bade
ἀποστῆναι λαβόντα. κἀκεῖνον μὲν οὕτως ὠφέλησεν.
to-withdraw having-taken and-him indeed so he-benefited
Ὁ δὲ Σωκράτους ἔρως πολλοὺς ἔχων καὶ μεγάλους 6
the and of-Socrates love many having and great
ἀνταγωνιστὰς πῇ μὲν ἐκράτει τοῦ Ἀλκιβιάδου, δι'
rivals sometimes indeed prevailed-over — Alcibiades through
εὐφυΐαν ἁπτομένων τῶν λόγων αὐτοῦ καὶ τὴν καρδίαν
good-nature laying-hold the words his and the heart

στρεφόντων καὶ δάκρυα ἐκχεόντων, ἔστι δ' ὅτε καὶ
turning and tears shedding there-is and when also
τοῖς κόλαξι πολλὰς ἡδονὰς ὑποβάλλουσιν ἐνδιδοὺς ἑαυτόν,
to-the flatterers many pleasures suggesting giving-up himself
ἀπωλίσθαινε τοῦ Σωκράτους καὶ δραπετεύων ἀτεχνῶς
he-slipped-away — from-Socrates and running-away simply
ἐκυνηγεῖτο, πρὸς μόνον ἐκεῖνον ἔχων τὸ αἰδεῖσθαι καὶ τὸ
was-hunted to alone that-one having the to-feel-shame and the
φοβεῖσθαι, τῶν δ' ἄλλων ὑπερορῶν.
to-fear of-the and others disdaining
Ὁ μὲν οὖν Κλεάνθης ἔλεγε τὸν ἐρώμενον ὑφ' ἑαυτοῦ μὲν
— indeed then Cleanthes said the beloved by himself indeed
ἐκ τῶν ὤτων κρατεῖσθαι, τοῖς δ' ἀντερασταῖς πολλὰς
by the ears to-be-held to-the and rival-lovers many
λαβὰς παρέχειν ἀθίκτους ἑαυτῷ, τὴν γαστέρα λέγων καὶ τὰ
holds to-offer untouchable for-himself the belly saying and the
αἰδοῖα καὶ τὸν λαιμόν· Ἀλκιβιάδης δ' ἦν μὲν ἀμέλει καὶ
genitals and the gullet Alcibiades and was indeed doubtless also
πρὸς ἡδονὰς ἀγώγιμος· ἡ γὰρ ὑπὸ Θουκυδίδου λεγομένη
toward pleasures easily-led the for by Thucydides spoken
παρανομία εἰς τὸ σῶμα τῆς διαίτης ὑποψίαν τοιαύτην
lawlessness in the body of-the way-of-life suspicion such
δίδωσιν. οὐ μὴν ἀλλὰ μᾶλλον αὐτοῦ τῆς φιλοτιμίας
gives not indeed but rather his the ambition
ἐπιλαμβανόμενοι καὶ τῆς φιλοδοξίας οἱ διαφθείροντες
laying-hold-of and the love-of-fame the corrupters
ἐνέβαλλον οὐ καθ' ὥραν εἰς μεγαλοπραγμοσύνην,
threw-him not in season into grand-designs
ἀναπείθοντες ὡς, ὅταν πρῶτον ἄρξηται τὰ δημόσια
persuading as when first he-should-begin the public-affairs
πράττειν, οὐ μόνον ἀμαυρώσοντα τοὺς ἄλλους στρατηγοὺς
to-do not only going-to-obscure the other generals

καὶ δημαγωγοὺς εὐθύς, ἀλλὰ καὶ τὴν Περικλέους δύναμιν
and popular-leaders at-once but even the of-Pericles power
ἐν τοῖς Ἕλλησι καὶ δόξαν ὑπερβαλούμενον. ὥσπερ
among the Greeks and fame going-to-surpass just-as
οὖν ὁ σίδηρος ἐν τῷ πυρὶ μαλασσόμενος αὖθις ὑπὸ
then the iron in the fire being-softened again by
τοῦ ψυχροῦ πυκνοῦται καὶ σύνεισι τοῖς μορίοις εἰς
the cold is-condensed and draws-together with-the parts into
αὑτόν, οὕτως ἐκεῖνον ὁ Σωκράτης θρύψεως διάπλεων καὶ
itself so him — Socrates of-luxury full and
χαυνότητος ὁσάκις ἂν λάβοι, πιέζων τῷ λόγῳ καὶ
of-vanity as-often-as — he-caught pressing with-the argument and
συστέλλων ταπεινὸν ἐποίει καὶ ἄτολμον, ἡλίκων ἐνδεής
contracting humble made and timid how-greatly lacking
ἐστι καὶ ἀτελὴς πρὸς ἀρετὴν μανθάνοντα.
he-is and incomplete toward virtue learning
Τὴν δὲ παιδικὴν ἡλικίαν παραλλάσσων ἐπέστη 7
the and boyish age passing-beyond he-stopped-at
γραμματοδιδασκάλῳ καὶ βιβλίον ᾔτησεν Ὁμηρικόν. εἰπόντος
a-schoolmaster and a-book asked-for Homeric having-said
δὲ τοῦ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου, κονδύλῳ καθικόμενος
and the teacher nothing to-have of-Homer with-a-fist having-struck
αὐτοῦ παρῆλθεν. ἑτέρου δὲ φήσαντος ἔχειν Ὅμηρον ὑφ᾽
him he-passed-on another and having-said to-have Homer by
αὐτοῦ διωρθωμένον, “Εἶτ᾽,” ἔφη, “γράμματα διδάσκεις,
himself corrected then he-said letters you-teach
Ὅμηρον ἐπανορθοῦν ἱκανὸς ὤν; οὐχὶ τοὺς νέους παιδεύεις;”
Homer to-correct able being not the young you-educate
Περικλεῖ δὲ βουλόμενος ἐντυχεῖν ἐπὶ θύρας ἦλθεν αὐτοῦ.
with-Pericles and wishing to-meet at doors he-came his
πυθόμενος δὲ μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν καθ᾽ ἑαυτὸν
having-learned and not to-be-at-leisure but to-consider by himself

ὅπως ἀποδώσει λόγον Ἀθηναίοις, ἀπιὼν ὁ Ἀλκιβιάδης,
how he-will-render account to-Athenians going-away — Alcibiades
"Εἶτα," ἔφη, "βέλτιον οὐκ ἦν σκοπεῖν αὐτὸν ὅπως οὐκ
then he-said better not was-it to-consider him how not
ἀποδώσει λόγον Ἀθηναίοις;"
he-will-render account to-Athenians
Ἔτι δὲ μειράκιον ὢν ἐστρατεύσατο τὴν εἰς Ποτίδαιαν
still and a-youth being he-served-on the to Potidaea
στρατείαν, καὶ Σωκράτη σύσκηνον εἶχε καὶ παραστάτην
expedition and Socrates tent-mate had and comrade
ἐν τοῖς ἀγῶσιν. ἰσχυρᾶς δὲ γενομένης μάχης ἠρίστευσαν
in the struggles fierce and having-been a-battle excelled
μὲν ἀμφότεροι, τοῦ δ' Ἀλκιβιάδου τραύματι περιπεσόντος
indeed both — and of-Alcibiades into-a-wound having-fallen
ὁ Σωκράτης προέστη καὶ ἤμυνε καὶ μάλιστα δὴ
— Socrates stood-before-him and defended and most indeed
προδήλως ἔσωσεν αὐτὸν μετὰ τῶν ὅπλων. ἐγίνετο μὲν
clearly saved him with the arms belonged indeed
οὖν τῷ δικαιοτάτῳ λόγῳ Σωκράτους τὸ ἀριστεῖον·
then by-the most-just reckoning of-Socrates the prize
ἐπεὶ δ' οἱ στρατηγοὶ διὰ τὸ ἀξίωμα τῷ Ἀλκιβιάδῃ
when and the generals because-of the rank — to-Alcibiades
σπουδάζοντες ἐφαίνοντο περιθεῖναι τὴν δόξαν, ὁ Σωκράτης
being-eager appeared to-confer the glory — Socrates
βουλόμενος αὔξεσθαι τὸ φιλότιμον ἐν τοῖς καλοῖς αὐτοῦ
wishing to-be-increased the ambition in the noble-things his
πρῶτος ἐμαρτύρει καὶ παρεκάλει στεφανοῦν ἐκεῖνον καὶ
first bore-witness and urged to-crown that-one and
διδόναι τὴν πανοπλίαν.
to-give the full-armor

Ἔτι δὲ τῆς ἐπὶ Δηλίῳ μάχης γενομένης καὶ φευγόντων
still and the at Delium battle having-taken-place and fleeing
Ἀθηναίων, ἔχων ἵππον ὁ Ἀλκιβιάδης, τοῦ δὲ Σωκράτους
Athenians having a-horse — Alcibiades — and Socrates
πεζῇ μετ᾽ ὀλίγων ἀποχωροῦντος, οὐ παρήλασεν ἰδών, ἀλλὰ
on-foot with few withdrawing not rode-past having-seen but
παρέπεμψε καὶ περιήμυνεν, ἐπικειμένων τῶν πολεμίων καὶ
escorted and defended pressing-on the enemies and
πολλοὺς ἀναιρούντων. καὶ ταῦτα μὲν ὕστερον ἐπράχθη.
many killing and these-things indeed later were-done
Ἱππονίκῳ δὲ τῷ Καλλίου πατρί, καὶ δόξαν ἔχοντι 8
to-Hipponicus and the of-Callias father and fame having
μεγάλην καὶ δύναμιν ἀπὸ πλούτου καὶ γένους, ἐνέτριψε
great and power from wealth and family he-gave
κόνδυλον, οὐχ ὑπ᾽ ὀργῆς ἢ διαφορᾶς τινος προαχθείς,
a-blow not by anger or quarrel any led-on
ἀλλ᾽ ἐπὶ γέλωτι, συνθέμενος πρὸς τοὺς ἑταίρους.
but for a-laugh having-made-a-wager with the companions
περιβοήτου δὲ τῆς ἀσελγείας ἐν τῇ πόλει γενομένης καὶ
notorious and the outrage in the city having-become and
συναγανακτούντων, ὥσπερ εἰκός, ἁπάντων, ἅμ᾽ ἡμέρᾳ
being-indignant-together as is-likely all together-with day
παρῆν ὁ Ἀλκιβιάδης ἐπὶ τὴν οἰκίαν τοῦ Ἱππονίκου, καὶ
came — Alcibiades to the house — of-Hipponicus and
τὴν θύραν κόψας εἰσῆλθε πρὸς αὐτὸν καὶ θεὶς
the door having-knocked entered to him and having-put-off
τὸ ἱμάτιον παρεδίδου τὸ σῶμα, μαστιγοῦν καὶ κολάζειν
the cloak handed-over the body to-flog and to-punish
κελεύων. ὁ δὲ συνέγνω καὶ τὴν ὀργὴν ἀφῆκεν, ὕστερον
bidding he and pardoned and the anger let-go later
δὲ τῆς θυγατρὸς Ἱππαρέτης ἐποιήσατο νυμφίον.
and of-the daughter Hipparete he-made bridegroom

Ἔνιοι δέ φασιν, οὐχ Ἱππόνικον, ἀλλὰ Καλλίαν, τὸν
some and say not Hipponicus but Callias the
υἱὸν αὐτοῦ, δοῦναι τῷ Ἀλκιβιάδῃ τὴν Ἱππαρέτην ἐπὶ
son his to-have-given — to-Alcibiades — Hipparete with
δέκα ταλάντοις· εἶτα μέντοι τεκούσης ἄλλα πάλιν δέκα
ten talents then however having-borne other again ten
προσεισπρᾶξαι τὸν Ἀλκιβιάδην, ὡς τοῦτο συνθέμενον εἰ
to-have-exacted-besides — Alcibiades as this having-agreed if
γένοιντο παῖδες. ὁ δὲ Καλλίας ἐπιβουλὴν δεδοικὼς
there-should-be children — and Callias a-plot fearing
προσῆλθε τῷ δήμῳ τὰ χρήματα διδοὺς καὶ τὸν οἶκον,
approached the people the money giving and the house
ἄνπερ αὐτῷ συμπέσῃ μὴ καταλιπόντι γενεὰν ἀποθανεῖν.
if-ever to-him it-befall not leaving offspring to-die
Εὔτακτος δ' οὖσα καὶ φίλανδρος ἡ Ἱππαρέτη,
well-behaved and being and loving-her-husband — Hipparete
λυπουμένη δ' ὑπ' αὐτοῦ περὶ τὸν γάμον ἑταίραις ξέναις
being-grieved and by him about the marriage with-courtesans foreign
καὶ ἀσταῖς συνόντος, ἐκ τῆς οἰκίας ἀπιοῦσα πρὸς τὸν
and townswomen consorting from the house departing to the
ἀδελφὸν ᾤχετο. τοῦ δ' Ἀλκιβιάδου μὴ φροντίζοντος,
brother went — and Alcibiades not caring
ἀλλὰ τρυφῶντος, ἔδει τὸ τῆς ἀπολείψεως γράμμα
but living-luxuriously it-was-necessary the of-the divorce document
παρὰ τῷ ἄρχοντι θέσθαι, μὴ δι' ἑτέρων, ἀλλ' αὐτὴν
with the archon to-deposit not through others but herself
παροῦσαν. ὡς οὖν παρῆν τοῦτο πράξουσα κατὰ
present when then she-was-present this going-to-do according-to
τὸν νόμον, ἐπελθὼν ὁ Ἀλκιβιάδης καὶ συναρπάσας
the law having-come-up — Alcibiades and having-snatched
αὐτὴν ἀπῆλθε δι' ἀγορᾶς οἴκαδε κομίζων, μηδενὸς
her went-off through market-place home carrying no-one

ἐναντιωθῆναι μηδ᾽ ἀφελέσθαι τολμήσαντος. ἔμεινε μέντοι
to-oppose nor to-take-away daring she-remained however
παρ᾽ αὐτῷ μέχρι τελευτῆς, ἐτελεύτησε δὲ μετ᾽ οὐ πολὺν
with him until death she-died and after not long
χρόνον εἰς Ἔφεσον τοῦ Ἀλκιβιάδου πλεύσαντος.
time to Ephesus — Alcibiades having-sailed
Αὕτη μὲν οὖν οὐ παντελῶς ἔδοξεν ἡ βία παράνομος
this indeed then not altogether seemed the violence lawless
οὐδ᾽ ἀπάνθρωπος εἶναι· καὶ γὰρ ὁ νόμος δοκεῖ διὰ
nor inhuman to-be and for the law seems because-of
τοῦτο προάγειν τὴν ἀπολείπουσαν εἰς τὸ δημόσιον αὐτήν,
this to-bring-forward the one-divorcing into the public herself
ὅπως ἐγγένηται τῷ ἀνδρὶ συμβῆναι καὶ κατασχεῖν.
so-that it-may-be-possible for-the husband to-come-to-terms and to-keep

III · THE DOG'S TAIL AND THE CHARIOTS

Alcibiades cuts off the tail of a costly dog so that Athens will talk of nothing worse. His first public act is a gift of money to the people, in whose applause a quail escapes from his cloak and the pilot Antiochus catches it. He is a skilled speaker, though he sometimes halts in search of a phrase. At Olympia he enters seven chariots and wins first, second, and fourth (third, says Euripides' ode); the Ephesians, Chians, and Lesbians supply his tent, victims, and wine. A dispute over the team he bought for Diomedes leads to a lawsuit.

Ὄντος δὲ κυνὸς αὐτῷ θαυμαστοῦ τὸ μέγεθος καὶ τὸ εἶδος, 9
being and a-dog his wonderful the size and the form
ὃν ἑβδομήκοντα μνῶν ἐωνημένος ἐτύγχανεν, ἀπέκοψε τὴν
which seventy minas having-bought he-happened he-cut-off the
οὐρὰν πάγκαλον οὖσαν. ἐπιτιμώντων δὲ τῶν συνήθων
tail very-beautiful being rebuking and the acquaintances

καὶ λεγόντων ὅτι πάντες ἐπὶ τῷ κυνὶ δάκνονται καὶ
and saying that all over the dog are-galled and
λοιδοροῦσιν αὐτόν, ἐπιγελάσας, "Γίνεται τοίνυν," εἶπεν,
reviling him having-laughed happens well-then he-said
"ὃ βούλομαι· βούλομαι γὰρ Ἀθηναίους τοῦτο λαλεῖν, ἵνα
what I-wish I-wish for Athenians this to-chatter so-that
μή τι χεῖρον περὶ ἐμοῦ λέγωσι."
not something worse about me they-say
Πρώτην δ' αὐτῷ πάροδον εἰς τὸ δημόσιον γενέσθαι
first and his entrance into the public-life to-have-been
λέγουσι μετὰ χρημάτων ἐπιδόσεως, οὐκ ἐκ παρασκευῆς,
they-say with of-money contribution not from preparation
ἀλλὰ παριόντα θορυβούντων Ἀθηναίων ἐρέσθαι τὴν αἰτίαν
but passing-by clamoring Athenians to-have-asked the cause
τοῦ θορύβου, πυθόμενον δὲ χρημάτων ἐπίδοσιν γίνεσθαι
of-the clamor having-learned and of-money a-contribution to-be-happening
παρελθεῖν καὶ ἐπιδοῦναι· τοῦ δὲ δήμου κροτοῦντος
to-have-come-forward and to-have-contributed the and people clapping
καὶ βοῶντος ὑφ' ἡδονῆς, ἐπιλαθέσθαι τοῦ ὄρτυγος ὃν
and shouting from pleasure to-have-forgotten the quail which
ἐτύγχανεν ἔχων ἐν τῷ ἱματίῳ· πτοηθέντος οὖν καὶ
he-happened having in the cloak having-been-scared then and
διαφυγόντος ἔτι μᾶλλον ἐκβοῆσαι τοὺς Ἀθηναίους, πολλοὺς
having-escaped still more to-have-shouted the Athenians many
δὲ συνθηρᾶν ἀναστάντας, λαβεῖν δ' αὐτὸν Ἀντίοχον
and to-help-hunt having-stood-up to-have-caught and it Antiochus
τὸν κυβερνήτην καὶ ἀποδοῦναι· διὸ προσφιλέστατον
the helmsman and to-have-given-back wherefore most-dear
τῷ Ἀλκιβιάδῃ γενέσθαι.
— to-Alcibiades to-have-become

Μεγάλας δ' αὐτῷ κλεισιάδας ἐπὶ τὴν πολιτείαν ἀνοίγοντος
great and for-him folding-doors to the public-life opening
τοῦ τε γένους καὶ τοῦ πλούτου τῆς τε περὶ τὰς μάχας
the both family and the wealth the and about the battles
ἀνδραγαθίας, φίλων τε πολλῶν καὶ οἰκείων ὑπαρχόντων,
valor of-friends and many and of-relatives existing
ἀπ' οὐδενὸς ἠξίου μᾶλλον ἢ τῆς τοῦ λόγου χάριτος
from nothing he-thought-fit rather than the of-the speech grace
ἰσχύειν ἐν τοῖς πολλοῖς. καὶ ὅτι μὲν δυνατὸς ἦν εἰπεῖν,
to-be-strong among the many and that indeed able he-was to-speak
οἵ τε κωμικοὶ μαρτυροῦσι καὶ τῶν ῥητόρων ὁ δυνατώτατος
the both comic-poets bear-witness and of-the orators the ablest
ἐν τῷ κατὰ Μειδίου, λέγων τὸν Ἀλκιβιάδην καὶ δεινότατον
in the against Meidias saying — Alcibiades also most-skilled
εἰπεῖν γενέσθαι πρὸς τοῖς ἄλλοις. εἰ δὲ Θεοφράστῳ
to-speak to-have-been besides the other-things if and Theophrastus
πιστεύομεν, ἀνδρὶ φιληκόῳ καὶ ἱστορικῷ παρ' ὁντινοῦν
we-believe a-man fond-of-hearing and investigative beyond anyone
τῶν φιλοσόφων, εὑρεῖν μὲν ἦν τὰ δέοντα καὶ νοῆσαι
of-the philosophers to-find indeed was the needful and to-conceive
πάντων ἱκανώτατος ὁ Ἀλκιβιάδης, ζητῶν δὲ μὴ μόνον
of-all most-capable — Alcibiades seeking but not only
ἃ δεῖ λέγειν, ἀλλὰ καὶ ὡς δεῖ τοῖς ὀνόμασι
what it-is-needful to-say but also how it-is-needful with-the words
καὶ τοῖς ῥήμασιν, οὐκ εὐπορῶν δέ, πολλάκις ἐσφάλλετο
and the phrases not being-well-supplied but often he-stumbled
καὶ μεταξὺ λέγων ἀπεσιώπα καὶ διέλειπε, λέξεως
and in-the-middle-of speaking fell-silent and paused phrase
διαφυγούσης αὐτόν, ἀναλαμβάνων καὶ διασκοπούμενος.
escaping him recovering and considering

11 Αἱ δ' ἱπποτροφίαι περιβόητοι μὲν ἐγένοντο καὶ τῷ
the and horse-breedings famous indeed became also for-the
πλήθει τῶν ἁρμάτων· ἑπτὰ γὰρ ἄλλος οὐδεὶς καθῆκεν
number of-the chariots seven for another no-one entered
Ὀλυμπίασιν ἰδιώτης οὐδὲ βασιλεύς, μόνος δὲ ἐκεῖνος.
at-Olympia private-man nor king alone but he
καὶ τὸ νικῆσαι δὲ καὶ δεύτερον γενέσθαι καὶ τέταρτον,
and the to-have-won and also second to-have-been and fourth
ὡς Θουκυδίδης φησίν, ὁ δ' Εὐριπίδης τρίτον, ὑπερβάλλει
as Thucydides says — but Euripides third surpasses
λαμπρότητι καὶ δόξῃ πᾶσαν τὴν ἐν τούτοις φιλοτιμίαν.
in-splendor and glory all the in these ambition
λέγει δ' ὁ Εὐριπίδης ἐν τῷ ᾄσματι ταῦτα·
says and — Euripides in the ode these-things

Σὲ δ' ἀείσομαι, ὦ Κλεινίου παῖ.
you and I-will-sing O of-Cleinias son
καλὸν ἁ νίκα· κάλλιστον δ', ὃ μηδεὶς ἄλλος Ἑλλάνων,
a-fine-thing the victory finest and which no other of-Greeks
ἅρματι πρῶτα δραμεῖν καὶ δεύτερα καὶ τρίτα,
with-chariot first to-run and second and third
βῆναί τ' ἀπονητί, Διὸς στεφθέντα τ' ἐλαίᾳ
to-go and without-toil of-Zeus crowned and with-olive
κάρυκι βοᾶν παραδοῦναι·
for-the-herald to-shout to-give

12 Τοῦτο μέντοι τὸ λαμπρὸν ἐπιφανέστερον ἐποίησεν ἡ τῶν
this however the splendor more-conspicuous made the of-the
πόλεων φιλοτιμία. σκηνὴν μὲν γὰρ αὐτῷ κεκοσμημένην
cities rivalry a-tent indeed for for-him adorned
διαπρεπῶς ἔστησαν Ἐφέσιοι, τροφὰς δὲ ἵπποις καὶ πλῆθος
magnificently set-up Ephesians fodder and for-horses and number

ἱερείων παρεῖχεν ἡ Χίων πόλις, οἶνον δὲ Λέσβιοι καὶ
of-victims supplied the of-Chians city wine and Lesbians and
τὴν ἄλλην ὑποδοχὴν ἀφειδῶς ἑστιῶντι πολλούς. οὐ μὴν
the other entertainment unsparingly feasting many not indeed
ἀλλὰ καὶ διαβολή τις ἢ κακοήθεια γενομένη περὶ τὴν
but also slander some or malice having-arisen about the
φιλοτιμίαν ἐκείνην πλείονα λόγον παρέσχε.
ambition that more talk gave
Λέγεται γὰρ ὡς ἦν Ἀθήνησι Διομήδης, ἀνὴρ οὐ
it-is-said for that there-was at-Athens Diomedes a-man not
πονηρός, Ἀλκιβιάδου φίλος, ἐπιθυμῶν δὲ νίκην Ὀλυμπικὴν
bad of-Alcibiades a-friend desiring and a-victory Olympic
αὐτῷ γενέσθαι· καὶ πυνθανόμενος ἅρμα δημόσιον Ἀργείοις
for-himself to-be and learning a-chariot public to-Argives
εἶναι, τὸν Ἀλκιβιάδην εἰδὼς ἐν Ἄργει μέγα δυνάμενον καὶ
to-be — Alcibiades knowing in Argos greatly being-powerful and
φίλους ἔχοντα πολλούς, ἔπεισεν αὐτῷ πρίασθαι τὸ ἅρμα.
friends having many he-persuaded for-him to-buy the chariot
πριάμενος δὲ ὁ Ἀλκιβιάδης ἴδιον ἀπεγράψατο, τὸν δὲ
having-bought and — Alcibiades as-his-own registered-it — and
Διομήδη χαίρειν εἴασε χαλεπῶς φέροντα καὶ μαρτυρόμενον
Diomedes go-bang he-let hard bearing-it and calling-to-witness
θεοὺς καὶ ἀνθρώπους. φαίνεται δὲ καὶ δίκη συστᾶσα περὶ
gods and men appears and also a-suit having-arisen about
τούτου, καὶ λόγος Ἰσοκράτει γέγραπται περὶ τοῦ ζεύγους
this and a-speech by-Isocrates has-been-written about the team
ὑπὲρ τοῦ Ἀλκιβιάδου παιδός, ἐν ᾧ Τισίας ἐστίν, οὐ
on-behalf-of — of-Alcibiades son in which Tisias is not
Διομήδης, ὁ δικασάμενος.
Diomedes the plaintiff

Entering politics, Alcibiades humbles the other popular leaders and contends with Phaeax and Nicias. When Hyperbolus moves an ostracism, Alcibiades joins with Nicias (or, some say, Phaeax) and turns it on the demagogue himself. Jealous of the peace named for Nicias, he tricks the Spartan envoys into denying their full powers, makes Argos an ally, and sets an army against Sparta at Mantinea. His luxury and insolence trouble the city: he shuts up the painter Agatharchus, slaps Taureas, keeps a Melian captive, and backs the Melian massacre; Timon hails him as a great evil growing for them all.

13 Ἐπεὶ δ' ἀφῆκεν αὐτὸν εἰς τὴν πολιτείαν ἔτι μειράκιον ὤν,
when and he-launched himself into the public-life still a-youth being
τοὺς μὲν ἄλλους εὐθὺς ἐταπείνωσε δημαγωγούς, ἀγῶνα δ'
the indeed other at-once he-humbled popular-leaders a-contest and
εἶχε πρός τε Φαίακα τὸν Ἐρασιστράτου καὶ Νικίαν τὸν
had with both Phaeax — son-of-Erasistratus and Nicias —
Νικηράτου, τὸν μὲν ἤδη καθ' ἡλικίαν προήκοντα καὶ
son-of-Niceratus the-one indeed already in age advanced and
στρατηγὸν ἄριστον εἶναι δοκοῦντα, Φαίακα δ' ἀρχόμενον,
general best to-be seeming Phaeax and beginning
ὥσπερ αὐτός, αὐξάνεσθαι τότε καὶ γνωρίμων ὄντα πατέρων,
like himself to-grow then and of-notable being fathers
ἐλαττούμενον δὲ τοῖς τε ἄλλοις καὶ περὶ τὸν λόγον.
being-inferior and in-the both other-things and in the speech
ἐντευκτικὸς γὰρ ἰδίᾳ καὶ πιθανὸς ἐδόκει μᾶλλον ἢ φέρειν
conversable for in-private and persuasive he-seemed rather than to-bear
ἀγῶνας ἐν δήμῳ δυνατός. ἦν γάρ, ὡς Εὔπολίς φησι,
contests in assembly able he-was for as Eupolis says

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.
to-chatter best most-incapable to-speak

φέρεται δὲ καὶ λόγος τις κατ᾽ Ἀλκιβιάδου ὑπὸ Φαίακος
is-current and also a-speech a-certain against Alcibiades by Phaeax
γεγραμμένος, ἐν ᾧ μετὰ τῶν ἄλλων γέγραπται καὶ
written in which with the other-things it-is-written also
ὅτι τῆς πόλεως πολλὰ πομπεῖα χρυσᾶ καὶ ἀργυρᾶ
that the city many processional-vessels gold and silver
κεκτημένης Ἀλκιβιάδης ἐχρῆτο πᾶσιν αὐτοῖς ὥσπερ ἰδίοις
possessing Alcibiades used all them as-if his-own
πρὸς τὴν καθ᾽ ἡμέραν δίαιταν.
for the by day life
Ἦν δέ τις Ὑπέρβολος Περιθοίδης, οὗ μέμνηται μὲν
there-was and a-certain Hyperbolus of-Perithoidae whom mentions indeed
ὡς ἀνθρώπου πονηροῦ καὶ Θουκυδίδης, τοῖς δὲ κωμικοῖς
as a-man wicked also Thucydides to-the and comic-poets
ὁμοῦ τι πᾶσι διατριβὴν ἀεὶ σκωπτόμενος ἐν τοῖς
nearly something all amusement always being-mocked in the
θεάτροις παρεῖχεν. ἄτρεπτος δὲ πρὸς τὸ κακῶς ἀκούειν
theaters he-gave unmoved and toward the badly to-be-spoken-of
καὶ ἀπαθὴς ὢν ὀλιγωρίᾳ δόξης, ἣν ἀναισχυντίαν καὶ
and insensible being from-contempt of-reputation which shamelessness and
ἀπόνοιαν οὖσαν εὐτολμίαν ἔνιοι καὶ ἀνδρείαν καλοῦσιν,
recklessness being daring some even courage call
οὐδενὶ μὲν ἤρεσκεν, ἐχρῆτο δ᾽ αὐτῷ πολλάκις ὁ δῆμος
to-no-one indeed he-was-pleasing used and him often the people
ἐπιθυμῶν προπηλακίζειν τοὺς ἐν ἀξιώματι καὶ συκοφαντεῖν.
desiring to-humiliate those in rank and to-slander
ἀναπεισθεὶς οὖν ὑπ᾽ αὐτοῦ τότε τὸ ὄστρακον ἐπιφέρειν
having-been-persuaded then by him then the sherd to-bring-against
ἔμελλεν, ᾧ κολούοντες ἀεὶ τὸν προὔχοντα δόξῃ
it-was-about by-which lopping always the one-preeminent in-reputation
καὶ δυνάμει τῶν πολιτῶν ἐλαύνουσι, παραμυθούμενοι τὸν
and power of-the citizens they-drive-out consoling the

φθόνον μᾶλλον ἢ τὸν φόβον. ἐπεὶ δὲ δῆλον ἦν ὅτι
envy rather than the fear when and clear it-was that
ἑνὶ τῶν τριῶν τὸ ὄστρακον ἐποίσουσι, συνήγαγε τὰς
on-one of-the three the sherd they-would-bring he-brought-together the
στάσεις εἰς ταὐτὸν ὁ Ἀλκιβιάδης, καὶ διαλεχθεὶς πρὸς τὸν
factions into the-same — Alcibiades and having-conferred with —
Νικίαν κατὰ τοῦ Ὑπερβόλου τὴν ὀστρακοφορίαν ἔτρεψεν.
Nicias against — Hyperbolus the ostracism he-turned
Ὡς δ' ἔνιοί φασιν, οὐ πρὸς Νικίαν, ἀλλὰ πρὸς Φαίακα
as and some say not with Nicias but with Phaeax
διαλεχθεὶς καὶ τὴν ἐκείνου προσλαβὼν ἑταιρίαν ἐξήλασε τὸν
having-conferred and the his having-taken-in club he-drove-out —
Ὑπέρβολον οὐδ' ἂν προσδοκήσαντα. φαῦλος γὰρ οὐδεὶς
Hyperbolus not-even — expecting-it mean for no-one
ἐνέπιπτεν εἰς τοῦτον τὸν κολασμὸν οὐδ' ἄδοξος, ὥς που
fell into this the punishment nor obscure as somewhere
καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε τοῦ Ὑπερβόλου μνησθείς,
also Plato the comic-poet has-said — Hyperbolus mentioning

Καίτοι πέπραχε τῶν προτέρων μὲν ἄξια,
and-yet he-has-fared of-the earlier-men indeed worthily
αὑτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια.
of-himself but and of-the brands unworthily
οὐ γὰρ τοιούτων εἵνεκ' ὄστραχ' εὑρέθη.
not for of-such for-the-sake sherds were-invented

περὶ μὲν οὖν τούτων ἐν ἑτέροις μᾶλλον εἴρηται τὰ
about indeed then these-things in other-works more is-said the
ἱστορούμενα.
things-recorded

Τὸν δ᾽ Ἀλκιβιάδην ὁ Νικίας οὐχ ἧττον ἠνία θαυμαζόμενος 14
— *and Alcibiades* — *Nicias not less vexed admired*
ὑπὸ τῶν πολεμίων ἢ τιμώμενος ὑπὸ τῶν πολιτῶν.
by the enemies than honored by the citizens
πρόξενος μὲν γὰρ ἦν ὁ Ἀλκιβιάδης τῶν Λακεδαιμονίων,
public-host indeed for was — Alcibiades of-the Lacedaemonians
καὶ τοὺς ἁλόντας αὐτῶν περὶ Πύλον ἄνδρας ἐθεράπευσεν·
and the captured of-them at Pylos men he-had-cared-for
ἐπεὶ δ᾽ ἐκεῖνοί τε διὰ Νικίου μάλιστα τῆς εἰρήνης
when and they both through Nicias most the peace
τυχόντες καὶ τοὺς ἄνδρας ἀπολαβόντες ὑπερηγάπων
having-obtained and the men having-recovered loved-exceedingly
αὐτόν, ἔν τε τοῖς Ἕλλησι λόγος ἦν ὡς Περικλέους μὲν
him among and the Greeks talk was that Pericles indeed
συνάψαντος αὐτοῖς, Νικίου δὲ λύσαντος τὸν πόλεμον, οἵ
having-joined for-them Nicias but having-ended the war the
τε πλεῖστοι τὴν εἰρήνην Νικίειον ὠνόμαζον, οὐ μετρίως
and most the peace Nician named not moderately
ἀνιώμενος ὁ Ἀλκιβιάδης καὶ φθονῶν ἐβούλευε σύγχυσιν
being-vexed — Alcibiades and envying planned a-confounding
ὁρκίων. καὶ πρῶτον μὲν Ἀργείους αἰσθανόμενος μίσει
of-oaths and first indeed Argives perceiving from-hatred
καὶ φόβῳ τῶν Σπαρτιατῶν ζητοῦντας ἀποστροφήν,
and fear of-the Spartans seeking a-resort
ἐλπίδας αὐτοῖς ἐνεδίδου κρύφα τῆς Ἀθηναίων συμμαχίας,
hopes to-them he-offered secretly of-the of-Athenians alliance
καὶ παρεθάρρυνε πέμπων καὶ διαλεγόμενος τοῖς προεστῶσι
and encouraged sending and conversing with-the leaders
τοῦ δήμου μὴ δεδιέναι μηδ᾽ ὑπείκειν Λακεδαιμονίοις, ἀλλὰ
of-the people not to-fear nor to-yield to-Lacedaemonians but

πρὸς Ἀθηναίους τρέπεσθαι καὶ περιμένειν ὅσον οὐδέπω
toward Athenians to-turn and to-wait as-good-as all-but
μεταμελομένους καὶ τὴν εἰρήνην ἀφιέντας.
repenting and the peace giving-up
Ἐπεὶ δὲ Λακεδαιμόνιοι πρός τε τοὺς Βοιωτοὺς ἐποιήσαντο
when and Lacedaemonians with both the Boeotians made
συμμαχίαν καὶ Πάνακτον οὐχ ἑστός, ὥσπερ ἔδει, τοῖς
an-alliance and Panactum not standing as was-needful to-the
Ἀθηναίοις παρέδωκαν, ἀλλὰ καταλύσαντες, ὀργιζομένους
Athenians handed-over but having-demolished angry
λαβὼν τοὺς Ἀθηναίους ἔτι μᾶλλον ἐξετράχυνε, καὶ
having-found the Athenians still more he-exasperated and
τὸν Νικίαν ἐθορύβει καὶ διέβαλλεν εἰκότα κατηγορῶν,
— Nicias he-harassed and slandered plausible-things accusing
ὅτι τοὺς ἐν Σφακτηρίᾳ τῶν πολεμίων ἀποληφθέντας
that those in Sphacteria of-the enemies cut-off
αὐτὸς μὲν ἐξελεῖν οὐκ ἠθέλησεν στρατηγῶν, ἑτέρων δ'
himself indeed to-take not was-willing being-general others and
ἐξελόντων ἀφῆκε καὶ ἀπέδωκε χαριζόμενος Λακεδαιμονίοις·
having-taken he-released and gave-back gratifying Lacedaemonians
εἶτ' ἐκείνους μὲν οὐκ ἔπεισε φίλος ὢν Βοιωτοῖς μὴ
then them indeed not he-persuaded friend being to-Boeotians not
συνόμνυσθαι μηδὲ Κορινθίοις, Ἀθηναίοις δὲ κωλύει τὸν
to-swear-alliance nor to-Corinthians to-Athenians but he-prevents the
βουλόμενον τῶν Ἑλλήνων φίλον εἶναι καὶ σύμμαχον, εἰ
one-wishing of-the Greeks friend to-be and ally if
μὴ δόξειε Λακεδαιμονίοις.
not it-should-seem-good to-Lacedaemonians
Ἐκ δὲ τούτου κακῶς φερομένῳ τῷ Νικίᾳ παρῆσαν ὥσπερ
from and this badly faring — to-Nicias came as-if
κατὰ τύχην πρέσβεις ἀπὸ τῆς Λακεδαίμονος, αὐτόθεν τε
by chance envoys from — Lacedaemon from-the-start both

λόγους ἐπιεικεῖς ἔχοντες καὶ πρὸς πᾶν τὸ συμβιβαστικὸν
proposals reasonable having and for every the conciliatory
καὶ δίκαιον αὐτοκράτορες ἥκειν φάσκοντες. ἀποδεξαμένης
and just with-full-powers to-have-come saying having-received-them
δὲ τῆς βουλῆς, τοῦ δὲ δήμου τῇ ὑστεραίᾳ μέλλοντος
and the council the and people on-the next-day being-about
ἐκκλησιάζειν, δείσας ὁ Ἀλκιβιάδης διεπράξατο τοὺς
to-hold-assembly having-feared — Alcibiades contrived the
πρέσβεις ἐν λόγοις γενέσθαι πρὸς αὐτόν. ὡς δὲ συνῆλθον
envoys into conference to-come with him when and they-met
ἔλεγε· "Τί πεπόνθατε, ἄνδρες Σπαρτιᾶται; πῶς ἔλαθεν
he-said what has-happened-to-you men Spartans how has-it-escaped
ὑμᾶς ὅτι τὰ τῆς βουλῆς ἀεὶ μέτρια καὶ φιλάνθρωπα πρὸς
you that the of-the council always moderate and humane toward
τοὺς ἐντυγχάνοντάς ἐστιν, ὁ δὲ δῆμος μέγα φρονεῖ καὶ
those dealing-with is the but people greatly is-proud and
μεγάλων ὀρέγεται; κἂν φάσκητε κύριοι πάντων ἀφῖχθαι,
great-things grasps and-if you-say masters of-all to-have-come
προστάττων καὶ βιαζόμενος ἀγνωμονήσει. φέρε δή, τὴν
ordering and forcing it-will-be-unreasonable come now the
εὐήθειαν ταύτην ἀφέντες, εἰ βούλεσθε χρήσασθαι μετρίοις
simplicity this having-given-up if you-wish to-deal with-moderate
Ἀθηναίοις καὶ μηδὲν ἐκβιασθῆναι παρὰ γνώμην, οὕτω
Athenians and nothing to-be-forced against judgment so
διαλέγεσθε περὶ τῶν δικαίων ὡς οὐκ ὄντες αὐτοκράτορες.
discuss about the just-terms as not being with-full-powers
συμπράξομεν δ' ἡμεῖς Λακεδαιμονίοις χαριζόμενοι." ταῦτα
will-cooperate and we Lacedaemonians gratifying these-things
δ' εἰπὼν ὅρκους ἔδωκεν αὐτοῖς καὶ μετέστησεν ἀπὸ τοῦ
and having-said oaths he-gave to-them and drew-them-away from —

Νικίου, παντάπασι πιστεύοντας αὐτῷ καὶ θαυμάζοντας ἅμα
Nicias altogether trusting him and admiring at-once
τὴν δεινότητα καὶ σύνεσιν, ὡς οὐ τοῦ τυχόντος ἀνδρὸς οὖσαν.
the cleverness and intelligence as not of-the chance man being
Τῇ δ' ὑστεραίᾳ συνήχθη μὲν ὁ δῆμος, εἰσῆλθον δ'
on-the and next-day was-assembled indeed the people came-in and
οἱ πρέσβεις. ἐρωτώμενοι δ' ὑπὸ τοῦ Ἀλκιβιάδου πάνυ
the envoys being-asked and by — Alcibiades very
φιλανθρώπως ἐφ' οἷς ἀφιγμένοι τυγχάνουσιν, οὐκ
kindly on what-terms having-come they-happen not
ἔφασαν ἥκειν αὐτοκράτορες. εὐθὺς οὖν ὁ Ἀλκιβιάδης
they-said to-have-come with-full-powers at-once then — Alcibiades
ἐνέκειτο μετὰ κραυγῆς καὶ ὀργῆς, ὥσπερ οὐκ ἀδικῶν, ἀλλ'
pressed-on with shouting and anger as-if not wronging but
ἀδικούμενος, ἀπίστους καὶ παλιμβόλους ἀποκαλῶν καὶ
being-wronged faithless and fickle calling and
μηδὲν ὑγιὲς μήτε πρᾶξαι μήτ' εἰπεῖν ἥκοντας, ἐπηγανάκτει
nothing sound either to-do or to-say having-come was-indignant
δ' ἡ βουλή, καὶ ὁ δῆμος ἐχαλέπαινε, τὸν δὲ Νικίαν
and the council and the people was-angry — and Nicias
ἔκπληξις εἶχε καὶ κατήφεια τῶν ἀνδρῶν τῆς μεταβολῆς,
consternation held and dejection of-the men of-the change
ἀγνοοῦντα τὴν ἀπάτην καὶ τὸν δόλον.
not-knowing the deceit and the trick
Οὕτω δὲ τῶν Λακεδαιμονίων ἐκπεσόντων, στρατηγὸς
so and the Lacedaemonians having-been-thrown-out general
ἀποδειχθεὶς ὁ Ἀλκιβιάδης εὐθὺς Ἀργείους καὶ Μαντινεῖς
having-been-appointed — Alcibiades at-once Argives and Mantineans
καὶ Ἠλείους συμμάχους ἐποίησε τοῖς Ἀθηναίοις. καὶ
and Eleans allies made for-the Athenians and
τὸν μὲν τρόπον οὐδεὶς τῆς πράξεως ἐπῄνει, μέγα δ'
the indeed manner no-one of-the action praised great but

ἦν τὸ πεπραγμένον ὑπ᾽ αὐτοῦ, διαστῆσαι καὶ κραδᾶναι
was the achieved by him to-split and to-shake
Πελοπόννησον ὀλίγου δεῖν ἅπασαν, καὶ τοσαύτας ἀσπίδας
Peloponnesus of-little to-lack all and so-many shields
ἐν ἡμέρᾳ μιᾷ περὶ Μαντίνειαν ἀντιτάξαι Λακεδαιμονίοις,
on day one at Mantinea to-array-against Lacedaemonians
καὶ πορρωτάτω τῶν Ἀθηνῶν ἀγῶνα κατασκευάσαι καὶ
and farthest — from-Athens a-contest to-contrive and
κίνδυνον αὐτοῖς, ἐν ᾧ μέγα μὲν οὐδὲν ἡ νίκη προσέθηκε
danger for-them in which great indeed nothing the victory added
κρατήσασιν, εἰ δ᾽ ἐσφάλησαν, ἔργον ἦν τὴν Λακεδαίμονα
to-the-victors if but they-failed a-task it-was — Lacedaemon
περιγενέσθαι.
to-survive

Μετὰ δὲ τὴν μάχην εὐθὺς ἐπέθεντο καταλύειν ἐν
after and the battle at-once undertook to-overthrow in
Ἄργει τὸν δῆμον οἱ χίλιοι καὶ τὴν πόλιν ὑπήκοον
Argos the democracy the thousand and the city subject
ποιεῖν· Λακεδαιμόνιοι δὲ παραγενόμενοι κατέλυσαν τὴν
to-make Lacedaemonians and having-come overthrew the
δημοκρατίαν. αὖθις δὲ τῶν πολλῶν ἐξενεγκαμένων τὰ
democracy again and the many having-brought-out the
ὅπλα καὶ κρατησάντων, ἐπελθὼν ὁ Ἀλκιβιάδης τήν τε
arms and having-prevailed having-come — Alcibiades the both
νίκην ἐβεβαίωσε τῷ δήμῳ, καὶ τὰ μακρὰ τείχη συνέπεισε
victory confirmed for-the people and the long walls persuaded
καθεῖναι καὶ προσμίξαντας τῇ θαλάσσῃ τὴν πόλιν ἐξάψαι
to-let-down and having-joined to-the sea the city to-attach
παντάπασι τῆς Ἀθηναίων δυνάμεως. καὶ τέκτονας καὶ
altogether to-the of-Athenians power and carpenters and
λιθουργοὺς ἐκ τῶν Ἀθηνῶν ἐκόμισε καὶ πᾶσαν ἐνεδείκνυτο
stone-masons from — Athens he-brought and all displayed

προθυμίαν, οὐχ ἧττον ἑαυτῷ κτώμενος ἢ τῇ πόλει χάριν
zeal no less for-himself acquiring than for-the city favor
καὶ ἰσχύν. ἔπεισε δὲ καὶ Πατρεῖς ὁμοίως τείχεσι μακροῖς
and strength he-persuaded and also Patreans likewise with-walls long
συνάψαι τῇ θαλάσσῃ τὴν πόλιν. εἰπόντος δέ τινος τοῖς
to-join to-the sea the city having-said and a-certain-man to-the
Πατρεῦσιν ὅτι "καταπιοῦνται ὑμᾶς Ἀθηναῖοι·" "Ἴσως,"
Patreans that will-swallow you Athenians perhaps
εἶπεν ὁ Ἀλκιβιάδης, "κατὰ μικρὸν καὶ κατὰ τοὺς πόδας,
said — Alcibiades by little and by the feet
Λακεδαιμόνιοι δὲ κατὰ τὴν κεφαλὴν καὶ ἀθρόως."
Lacedaemonians but by the head and all-at-once
Οὐ μὴν ἀλλὰ καὶ τῆς γῆς συνεβούλευεν ἀντέχεσθαι τοῖς
not indeed but also of-the land he-advised to-cling to-the
Ἀθηναίοις, καὶ τὸν ἐν Ἀγραύλου προβαλλόμενον ἀεὶ τοῖς
Athenians and the in Agraulos' proposed always to-the
ἐφήβοις ὅρκον ἔργῳ βεβαιοῦν. ὀμνύουσι γὰρ ὅροις
young-men oath in-deed to-confirm they-swear for as-boundaries
χρήσασθαι τῆς Ἀττικῆς πυροῖς, κριθαῖς, ἀμπέλοις, ἐλαίαις,
to-use — of-Attica wheat barley vines olives
οἰκείαν ποιεῖσθαι διδασκόμενοι τὴν ἥμερον καὶ καρποφόρον.
own-land to-make being-taught the cultivated and fruitful
16 Ἐν δὲ τοιούτοις πολιτεύμασι καὶ λόγοις καὶ φρονήματι
in and such policies and words and spirit
καὶ δεινότητι πολλὴν αὖ πάλιν τὴν τρυφὴν τῆς
and cleverness much in-turn again the luxury of-the
διαίτης καὶ περὶ πότους καὶ ἔρωτας ὑβρίσματα, καὶ
way-of-life and about drinking-bouts and loves outrages and
θηλύτητας ἐσθήτων ἁλουργῶν ἑλκομένων δι' ἀγορᾶς,
effeminacies of-clothes purple trailing through market-place
καὶ πολυτέλειαν ὑπερήφανον, ἐκτομάς τε καταστρωμάτων
and extravagance arrogant cuttings both of-decks

ἐν ταῖς τριήρεσιν, ὅπως μαλακώτερον ἐγκαθεύδοι, κειρίαις,
in the triremes so-that more-softly he-might-sleep on-girths
ἀλλὰ μὴ σανίσι, τῶν στρωμάτων ἐπιβαλλομένων, ἀσπίδος
but not on-planks the bedding being-laid-on of-a-shield
τε διαχρύσου ποίησιν οὐδὲν ἐπίσημον τῶν πατρίων
and gilded making no device of-the ancestral
ἔχουσαν, ἀλλ᾽ Ἔρωτα κεραυνοφόρον, ἅπερ ὁρῶντες οἱ μὲν
having but Eros thunderbolt-bearing which seeing the indeed
ἔνδοξοι μετὰ τοῦ βδελύττεσθαι καὶ δυσχεραίνειν ἐφοβοῦντο
reputable with the to-loathe and to-be-annoyed feared
τὴν ὀλιγωρίαν αὐτοῦ καὶ παρανομίαν, ὡς τυραννικὰ καὶ
the contempt his and lawlessness as tyrannical and
ἀλλόκοτα, τοῦ δὲ δήμου τὸ πάθος τὸ πρὸς αὐτὸν οὐ
strange of-the and people the feeling the toward him not
κακῶς ἐξηγούμενος ὁ Ἀριστοφάνης ταῦτ᾽ εἴρηκε·
badly explaining — Aristophanes these-things has-said

Ποθεῖ μέν, ἐχθαίρει δέ, βούλεται δ᾽ ἔχειν,
it-longs-for indeed hates but wishes and to-have

ἔτι δὲ μᾶλλον τῇ ὑπονοίᾳ πιέζων·
still and more with-the innuendo pressing

Μάλιστα μὲν λέοντα μὴ ᾽ν πόλει τρέφειν·
best indeed a-lion not in city to-rear
ἢν δ᾽ ἐκτρέφῃ τις, τοῖς τρόποις ὑπηρετεῖν.
if but rears one with-the ways to-comply

ἐπιδόσεις γὰρ καὶ χορηγίαι καὶ φιλοτιμήματα πρὸς τὴν
contributions for and choregies and munificences toward the
πόλιν ὑπερβολὴν μὴ ἀπολείποντα καὶ δόξα προγόνων
city excess not leaving and glory of-ancestors

καὶ λόγου δύναμις καὶ σώματος εὐπρέπεια καὶ ῥώμη μετ᾽
and of-speech power and of-body comeliness and strength with
ἐμπειρίας τῶν πολεμικῶν καὶ ἀλκῆς πάντα τἆλλα
experience of-the warlike-arts and prowess all the-other-things
συγχωρεῖν ἐποίει καὶ φέρειν μετρίως τοὺς Ἀθηναίους, ἀεὶ
to-allow made and to-bear moderately the Athenians always
τὰ πραότατα τῶν ὀνομάτων τοῖς ἁμαρτήμασι τιθεμένους,
the mildest of-the names to-the faults giving
παιδιὰς καὶ φιλοτιμίας.
pranks and ambitions
Οἷον ἦν καὶ τὸ Ἀγάθαρχον εἶρξαι τὸν ζωγράφον,
such-as was also the Agatharchus to-have-shut-up the painter
εἶτα γράψαντα τὴν οἰκίαν ἀφεῖναι δωρησάμενον· καὶ
then having-painted the house to-have-released-him having-rewarded and
Ταυρέαν ἀντιχορηγοῦντα ῥαπίσαι φιλοτιμούμενον ὑπὲρ
Taureas rival-choregus to-have-slapped striving for
τῆς νίκης· καὶ τὸ Μηλίαν γυναῖκα ἐκ τῶν αἰχμαλώτων
the victory and the a-Melian woman from the captives
ἐξελόμενον καὶ συνόντα θρέψαι παιδάριον ἐξ αὐτῆς.
having-taken-out and living-with to-have-reared a-little-child from her
καὶ γὰρ τοῦτο φιλάνθρωπον ἐκάλουν· πλὴν ὅτι τοὺς
and for this humane they-called except that the
Μηλίους ἡβηδὸν ἀποσφαγῆναι τὴν πλείστην αἰτίαν ἔσχε,
Melians all-grown-up to-be-slaughtered the most blame he-had
τῷ ψηφίσματι συνειπών.
for-the decree having-spoken-for
Ἀριστοφῶντος δὲ Νεμέαν γράψαντος ἐν ταῖς ἀγκάλαις
Aristophon and Nemea having-painted in the arms
αὐτῆς καθήμενον Ἀλκιβιάδην ἔχουσαν, ἐθεῶντο καὶ
her sitting Alcibiades holding they-gazed and
συνέτρεχον χαίροντες. οἱ δὲ πρεσβύτεροι καὶ τούτοις
ran-together rejoicing the but older-men also at-these

ἐδυσχέραινον ὡς τυραννικοῖς καὶ παρανόμοις. ἐδόκει δὲ
were-displeased as tyrannical and lawless it-seemed and
καὶ Ἀρχέστρατος οὐκ ἀπὸ τρόπου λέγειν ὡς ἡ Ἑλλὰς
also Archestratus not from manner to-say that — Greece
οὐκ ἂν ἤνεγκε δύο Ἀλκιβιάδας.
not — would-have-borne two Alcibiadeses
Ἐπεὶ δὲ Τίμων ὁ μισάνθρωπος εὐημερήσαντα τὸν
when and Timon the misanthrope having-prospered —
Ἀλκιβιάδην καὶ προπεμπόμενον ἀπὸ τῆς ἐκκλησίας
Alcibiades and being-escorted from the assembly
ἐπιφανῶς οὐ παρῆλθεν οὐδ' ἐξέκλινεν, ὥσπερ εἰώθει
conspicuously not passed-by nor avoided as he-was-accustomed
τοὺς ἄλλους, ἀλλ' ἀπαντήσας καὶ δεξιωσάμενος, "Εὖ γ'," ἔφη,
the others but having-met-him and having-greeted well at-least he-said
"ποιεῖς αὐξόμενος, ὦ παῖ· μέγα γὰρ αὔξῃ κακὸν ἅπασι τούτοις,"
you-do growing O boy great for you-grow an-evil for-all these-men
οἱ μὲν ἐγέλων, οἱ δ' ἐβλασφήμουν, ἐνίους δὲ καὶ πάνυ τὸ λεχθὲν
the some laughed the others reviled some and also very the saying
ἐπέστρεφεν. οὕτως ἄκριτος ἦν ἡ δόξα περὶ αὐτοῦ διὰ τὴν τῆς φύσεως ἀνωμαλίαν.
made-think so undecided was the opinion about him because-of the of-the nature unevenness

Alcibiades fires the Athenians' dream of Sicily, Carthage, and Libya, while Socrates and the astronomer Meton foresee disaster. He is elected general with Nicias and Lamachus. Before the sailing come the mourning of the Adonia and the mutilation of the Herms; Androcles brings informers against him, and his enemies let him sail, to try him later. He takes Rhegium and wins over Catana, and is then summoned home for trial, while the people jail the accused untried, though one informer claims to have seen the culprits by a moon that was not shining.

17 Σικελίας δὲ καὶ Περικλέους ἔτι ζῶντος ἐπεθύμουν
Sicily and even Pericles still living desired
Ἀθηναῖοι, καὶ τελευτήσαντος ἥπτοντο, καὶ τὰς
Athenians and having-died they-laid-hands-on-it and the
λεγομένας βοηθείας καὶ συμμαχίας ἔπεμπον ἑκάστοτε τοῖς
so-called reinforcements and alliances they-sent each-time to-those
ἀδικουμένοις ὑπὸ Συρακουσίων ἐπιβάθρας τῆς μείζονος
being-wronged by Syracusans gangways of-the greater
στρατείας τιθέντες. ὁ δὲ παντάπασι τὸν ἔρωτα τοῦτον
expedition laying the-one and altogether the passion this
ἀναφλέξας αὐτῶν, καὶ πείσας μὴ κατὰ μέρος μηδὲ
having-inflamed their and having-persuaded not by part nor
κατὰ μικρόν, ἀλλὰ μεγάλῳ στόλῳ πλεύσαντας ἐπιχειρεῖν
by little but with-a-great fleet having-sailed to-attempt
καὶ καταστρέφεσθαι τὴν νῆσον, Ἀλκιβιάδης ἦν, τόν τε
and to-subdue the island Alcibiades was the both
δῆμον μεγάλα πείσας ἐλπίζειν, αὐτός τε μειζόνων
people great-things having-persuaded to-hope he-himself and greater-things
ὀρεγόμενος. ἀρχὴν γὰρ εἶναι, πρὸς ἃ ἠλπίκει, διενοεῖτο
grasping beginning for to-be toward what he-had-hoped he-considered
τῆς στρατείας, οὐ τέλος, ὥσπερ οἱ λοιποί, Σικελίαν.
of-the expedition not end like the others Sicily

καὶ Νικίας μὲν ὡς χαλεπὸν ἔργον ὂν τὰς Συρακούσας
and Nicias indeed as a-hard task being — Syracuse
ἑλεῖν ἀπέτρεπε τὸν δῆμον, Ἀλκιβιάδης δὲ Καρχηδόνα
to-take tried-to-dissuade the people Alcibiades but Carthage
καὶ Λιβύην ὀνειροπολῶν, ἐκ δὲ τούτων προσγενομένων
and Libya dreaming-of from and these having-been-added
Ἰταλίαν καὶ Πελοπόννησον ἤδη περιβαλλόμενος, ὀλίγου
Italy and Peloponnesus already embracing of-little
δεῖν ἐφόδια τοῦ πολέμου Σικελίαν ἐποιεῖτο. καὶ τοὺς μὲν
to-lack provisions of-the war Sicily he-made and the indeed
νέους αὐτόθεν εἶχεν ἤδη ταῖς ἐλπίσιν ἐπηρμένους, τῶν
young-men from-the-start he-had already by-the hopes elated of-the
δὲ πρεσβυτέρων ἠκροῶντο πολλὰ θαυμάσια περὶ τῆς
and older-men they-listened-to many wonderful-things about the
στρατείας περαινόντων, ὥστε πολλοὺς ἐν ταῖς παλαίστραις
expedition relating so-that many in the wrestling-schools
καὶ τοῖς ἡμικυκλίοις καθέζεσθαι τῆς τε νήσου τὸ σχῆμα
and the half-circles to-sit the both island the shape
καὶ θέσιν Λιβύης καὶ Καρχηδόνος ὑπογράφοντας.
and position of-Libya and of-Carthage sketching
Σωκράτη μέντοι τὸν φιλόσοφον καὶ Μέτωνα τὸν
Socrates however the philosopher and Meton the
ἀστρολόγον οὐδὲν ἐλπίσαι τῇ πόλει χρηστὸν ἀπὸ τῆς
astronomer nothing to-have-hoped for-the city good from the
στρατείας ἐκείνης λέγουσιν, ὁ μέν, ὡς ἔοικε, τοῦ
expedition that they-say the-one indeed as it-seems the
συνήθους δαιμονίου γενομένου καὶ προσημαίνοντος, ὁ δὲ
customary divine-sign having-come and forewarning — and
Μέτων εἴτε δείσας ἐκ λογισμοῦ τὸ μέλλον εἴτε μαντικῆς
Meton whether having-feared from reasoning the future or of-divination
τινι τρόπῳ χρησάμενος ἐσκήψατο μεμηνέναι, καὶ λαβὼν
some manner having-used pretended to-be-mad and having-taken

δᾷδα καιομένην οἷος ἦν αὐτοῦ τὴν οἰκίαν ὑφάπτειν. ἔνιοι
a-torch burning such-as he-was his-own the house to-set-fire-to some
δέ φασι προσποίημα μὲν μανίας μηδὲν ἐσκευάσθαι τὸν
and say pretense indeed of-madness no to-have-been-contrived —
Μέτωνα, καταπρῆσαι δὲ τὴν οἰκίαν νύκτωρ, εἶθ' ἕωθεν
Meton to-have-burned and the house by-night then at-dawn
προελθόντα δεῖσθαι καὶ ἀντιβολεῖν ἐπὶ συμφορᾷ τηλικαύτῃ
having-come-forward to-beg and to-entreat for misfortune so-great
τὸν υἱὸν αὐτῷ παρεθῆναι τῆς στρατείας. ἐκεῖνος μὲν
the son to-him to-be-excused from-the expedition he indeed
οὖν ἔτυχεν ὧν ἠξίου, παρακρουσάμενος τοὺς πολίτας.
then obtained what he-asked having-deceived the citizens
18 Ὁ δὲ Νικίας ἄκων μὲν ᾑρέθη στρατηγός, οὐχ ἥκιστα τὴν
— and Nicias unwilling indeed was-chosen general not least the
ἀρχὴν καὶ διὰ τὸν συνάρχοντα φεύγων· ἐφαίνετο γὰρ
command also because-of the colleague shunning it-appeared for
τοῖς Ἀθηναίοις τὰ τοῦ πολέμου βέλτιον ἕξειν μὴ προεμένοις
to-the Athenians the of-the war better to-fare not having-let-go
τὸν Ἀλκιβιάδην ἄκρατον, ἀλλὰ μιχθείσης πρὸς τὴν
— Alcibiades unmixed but having-been-mixed with the
τόλμαν αὐτοῦ τῆς Νικίου προνοίας· καὶ γὰρ ὁ τρίτος
daring his the of-Nicias forethought and for the third
στρατηγὸς Λάμαχος ἡλικίᾳ προήκων ὅμως ἐδόκει μηδὲν
general Lamachus in-age advanced nevertheless seemed no
ἧττον εἶναι τοῦ Ἀλκιβιάδου διάπυρος καὶ φιλοκίνδυνος ἐν
less to-be — than-Alcibiades fiery and danger-loving in
τοῖς ἀγῶσι· βουλευομένων δὲ περὶ πλήθους καὶ τρόπου
the contests deliberating and about number and manner
παρασκευῆς ἐπεχείρησεν αὖθις ὁ Νικίας ἐνίστασθαι καὶ
of-equipment attempted again — Nicias to-oppose and
καταπαύειν τὸν πόλεμον. ἀντειπόντος δὲ τοῦ Ἀλκιβιάδου
to-stop the war having-spoken-against and — Alcibiades

καὶ κρατήσαντος, ἔγραψε τῶν ῥητόρων Δημόστρατος καὶ
and having-prevailed proposed of-the orators Demostratus and
εἶπεν ὡς χρὴ τοὺς στρατηγοὺς αὐτοκράτορας εἶναι
said that it-is-needful the generals with-full-powers to-be
καὶ τῆς παρασκευῆς καὶ τοῦ πολέμου παντός.
both of-the equipment and of-the war whole
Ἐπιψηφισαμένου δὲ τοῦ δήμου καὶ γενομένων ἑτοίμων
having-voted-for and the people and having-become ready
πάντων πρὸς τὸν ἔκπλουν, οὐ χρηστὰ παρῆν οὐδὲ τὰ τῆς
everything for the sailing not good-things were-present not-even the of-the
ἑορτῆς. Ἀδωνίων γὰρ εἰς τὰς ἡμέρας ἐκείνας καθηκόντων
festival the-Adonia for into the days those falling
εἴδωλα πολλαχοῦ νεκροῖς ἐκκομιζομένοις ὅμοια προὔκειντο
images in-many-places to-corpses being-carried-out like were-set-out
ταῖς γυναιξί, καὶ ταφὰς ἐμιμοῦντο κοπτόμεναι, καὶ θρήνους
by-the women and burials they-imitated beating-their-breasts and laments
ᾖδον. ἡ μέντοι τῶν Ἑρμῶν περικοπή, μιᾷ νυκτὶ τῶν
sang the however of-the Herms mutilation in-one night the
πλείστων ἀκρωτηριασθέντων τὰ πρόσωπα, πολλοὺς καὶ
most having-been-mutilated the faces many even
τῶν περιφρονούντων τὰ τοιαῦτα διετάραξεν. ἐλέχθη μὲν
of-those despising the such-things disturbed it-was-said indeed
οὖν ὅτι Κορίνθιοι διὰ τοὺς Συρακουσίους ἀποίκους ὄντας,
then that Corinthians because-of the Syracusans colonists being
ὡς ἐπισχέσεως ἐσομένης πρὸς τῶν οἰωνῶν ἢ μεταγνώσεως
as delay going-to-be from the omens or change-of-mind
τοῦ πολέμου, ταῦτα δράσειαν. οὐ μὴν ἥπτετό γε τῶν
about-the war these-things did not indeed touched at-least the
πολλῶν οὔθ' οὗτος ὁ λόγος οὔθ' ὁ τῶν σημεῖον δεινὸν
many neither this the account nor that of-those sign terrible
εἶναι μηδὲν οἰομένων, ἀλλ' οἷα φιλεῖ φέρειν ἄκρατος
to-be nothing thinking but such-as is-wont to-bring unmixed-wine

ἀκολάστων νέων εἰς ὕβριν ἐκ παιδιᾶς ὑποφερομένων·
of-licentious young-men into outrage from play carried-away
ὀργῇ δ' ἅμα καὶ φόβῳ τὸ γεγονὸς λαμβάνοντες ὡς
with-anger and at-once and fear the happening taking as
ἀπὸ συνωμοσίας ἐπὶ πράγμασι μεγάλοις τετολμημένον,
from a-conspiracy for affairs great dared
ἅπασαν ἐξήταζον ὑπόνοιαν πικρῶς ἥ τε βουλὴ συνιοῦσα
every they-examined suspicion bitterly the both council meeting
περὶ τούτων καὶ ὁ δῆμος ἐν ὀλίγαις ἡμέραις πολλάκις.
about these-things and the people in few days often
19 Ἐν δὲ τούτῳ δούλους τινὰς καὶ μετοίκους προήγαγεν
in and this slaves some and resident-aliens brought-forward
Ἀνδροκλῆς ὁ δημαγωγὸς ἄλλων τε ἀγαλμάτων περικοπὰς
Androcles the popular-leader of-other both statues mutilations
καὶ μυστηρίων παρ' οἶνον ἀπομιμήσεις τοῦ Ἀλκιβιάδου καὶ
and of-mysteries over wine imitations — Alcibiades and
τῶν φίλων κατηγοροῦντας. ἔλεγον δὲ Θεόδωρον μέν τινα
of-the friends accusing they-said and Theodorus indeed a-certain
δρᾶν τὰ τοῦ κήρυκος, Πουλυτίωνα δὲ τὰ τοῦ δᾳδούχου,
to-perform the of-the herald Polytion and the of-the torch-bearer
τὰ δὲ τοῦ ἱεροφάντου τὸν Ἀλκιβιάδην, τοὺς δ' ἄλλους
the and of-the hierophant — Alcibiades the and other
ἑταίρους παρεῖναι καὶ μυεῖσθαι μύστας προσαγορευομένους.
companions to-be-present and to-be-initiated initiates being-called
ταῦτα γὰρ ἐν τῇ εἰσαγγελίᾳ γέγραπται Θεσσαλοῦ τοῦ
these-things for in the impeachment is-written Thessalus —
Κίμωνος εἰσαγγείλαντος Ἀλκιβιάδην ἀσεβεῖν περὶ
son-of-Cimon having-impeached Alcibiades to-commit-impiety concerning
τὼ θεώ. τραχυνομένου δὲ τοῦ δήμου καὶ πικρῶς πρὸς
the two-goddesses being-exasperated and the people and bitterly toward
Ἀλκιβιάδην ἔχοντος, καὶ τοῦ Ἀνδροκλέους (ἦν γὰρ οὗτος
Alcibiades being-disposed and — Androcles was for this-man

ἐχθρὸς ἐν τοῖς μάλιστα τοῦ Ἀλκιβιάδου) παροξύνοντος,
enemy among the most — of-Alcibiades inciting
ἐν ἀρχῇ μὲν ἐταράχθησαν οἱ περὶ τὸν Ἀλκιβιάδην.
in beginning indeed were-troubled those about — Alcibiades
αἰσθόμενοι δὲ τούς τε ναύτας, ὅσοι πλεῖν ἔμελλον
having-perceived but the both sailors as-many-as to-sail were-about
εἰς Σικελίαν, εὔνους ὄντας αὐτοῖς καὶ τὸ στρατιωτικόν,
to Sicily well-disposed being to-them and the soldiery
Ἀργείων δὲ καὶ Μαντινέων χιλίων ὄντων ὁπλιτῶν
of-Argives and and of-Mantineans a-thousand being hoplites
ἀκούοντες ἀναφανδὸν λεγόντων ὡς δι' Ἀλκιβιάδην
hearing openly saying that because-of Alcibiades
στρατεύοιντο διαπόντιον καὶ μακρὰν στρατείαν, ἐὰν δέ τις
they-were-serving overseas and long expedition if but anyone
ἀγνωμονῇ περὶ τοῦτον, εὐθὺς ἀποστήσεσθαι, ἀνεθάρρουν
treat-unfairly about this-man at-once to-withdraw they-took-courage
καὶ παρίσταντο τῷ καιρῷ πρὸς τὴν ἀπολογίαν, ὥστε τοὺς
and stood-forward at-the occasion for the defense so-that the
ἐχθροὺς πάλιν ἀθυμεῖν καὶ φοβεῖσθαι μὴ περὶ τὴν κρίσιν
enemies again to-lose-heart and to-fear lest about the trial
ὁ δῆμος ἀμβλύτερος αὐτῷ γένηται διὰ τὴν χρείαν.
the people more-lenient to-him become because-of the need
Πρὸς ταῦτ' οὖν τεχνάζουσι τῶν ῥητόρων τοὺς οὐ
against these-things then they-contrive of-the orators those not
δοκοῦντας ἐχθροὺς τοῦ Ἀλκιβιάδου, μισοῦντας δὲ αὐτὸν
seeming enemies — of-Alcibiades hating but him
οὐχ ἧττον τῶν ὁμολογούντων, ἀνισταμένους ἐν τῷ
not less than-those admitting-it standing-up in the
δήμῳ λέγειν ὡς ἄτοπόν ἐστιν αὐτοκράτορι στρατηγῷ
people to-say that absurd it-is for-one-with-full-powers general
τηλικαύτης ἀποδεδειγμένῳ δυνάμεως, ἠθροισμένης στρατιᾶς
of-so-great appointed force assembled army

καὶ τῶν συμμάχων, μεταξὺ κληροῦντας δικαστήριον καὶ
and the allies meanwhile allotting a-jury and
ὕδωρ διαμετροῦντας ἀπολλύναι τὸν καιρόν· "Ἀλλὰ νῦν μὲν
water measuring-out to-lose the opportunity but now indeed
ἀγαθῇ τύχῃ πλεέτω, τοῦ δὲ πολέμου διαπραχθέντος ἐπὶ
with-good luck let-him-sail of-the and war having-been-accomplished on
τοῖς αὐτοῖς νόμοις ἀπολογείσθω παρών." οὐκ ἐλάνθανε μὲν
the same laws let-him-defend-himself being-present not escaped indeed
οὖν ἡ κακοήθεια τῆς ἀναβολῆς τὸν Ἀλκιβιάδην, ἀλλ' ἔλεγε
then the malice of-the postponement — Alcibiades but he-said
παριὼν ὡς δεινόν ἐστιν αἰτίας ἀπολιπόντα καθ' ἑαυτοῦ
coming-forward that terrible it-is charges having-left against himself
καὶ διαβολὰς ἐκπέμπεσθαι μετέωρον ἐπὶ τοσαύτης
and slanders to-be-sent-out in-suspense at-the-head-of so-great
δυνάμεως· ἀποθανεῖν γὰρ προσήκειν μὴ λύσαντι τὰς
a-force to-die for to-befit not having-refuted the
κατηγορίας, λύσαντι δὲ καὶ φανέντι καθαρῷ τρέπεσθαι
accusations having-refuted but and having-appeared pure to-turn
πρὸς τοὺς πολεμίους μὴ δεδοικότι τοὺς συκοφάντας.
to the enemies not fearing the informers
20 Ἐπεὶ δ' οὐκ ἔπειθεν, ἀλλὰ πλεῖν ἐκέλευον αὐτόν, ἀνήχθη
when and not he-persuaded but to-sail they-bade him he-put-to-sea
μετὰ τῶν συστρατήγων ἔχων τριήρεις μὲν οὐ πολλῷ
with the fellow-generals having triremes indeed not by-much
τῶν τεσσαράκοντα καὶ ἑκατὸν ἀποδεούσας, ὁπλίτας δὲ
of-the forty and a-hundred falling-short hoplites and
πεντακισχιλίους καὶ ἑκατόν, τοξότας δὲ καὶ σφενδονήτας
five-thousand and a-hundred archers and and slingers
καὶ ψιλοὺς περὶ τριακοσίους καὶ χιλίους, καὶ τὴν ἄλλην
and light-armed about three-hundred and a-thousand and the other
παρασκευὴν ἀξιόλογον. προσβαλὼν δ' Ἰταλίᾳ καὶ Ῥήγιον
equipment considerable having-touched and at-Italy and Rhegium

ἑλών, εἰσηγήσατο γνώμην ὅτῳ τρόπῳ πολεμητέον ἐστί.
having-taken he-proposed a-plan in-what manner war-must-be-made it-is
καὶ Νικίου μὲν ἀντιλέγοντος, Λαμάχου δὲ προσθεμένου,
and Nicias indeed opposing Lamachus but supporting
πλεύσας εἰς Σικελίαν προσηγάγετο Κατάνην, ἄλλο δὲ
having-sailed to Sicily he-won-over Catana other and
οὐδὲν ἔπραξε μετάπεμπτος ὑπὸ τῶν Ἀθηναίων ἐπὶ τὴν
nothing he-did summoned by the Athenians for the
κρίσιν εὐθὺς γενόμενος.
trial at-once having-been
Πρῶτον μὲν γάρ, ὥσπερ εἴρηται, ψυχραί τινες ὑποψίαι
first indeed for as has-been-said vague some suspicions
καὶ διαβολαὶ κατὰ τοῦ Ἀλκιβιάδου προσέπιπτον ἀπὸ
and slanders against — Alcibiades fell-upon from
δούλων καὶ μετοίκων· ἔπειτα τῶν ἐχθρῶν ἀπόντος
slaves and resident-aliens then the enemies being-absent
αὐτοῦ καθαπτομένων σφοδρότερον, καὶ τοῖς περὶ τοὺς
him attacking more-vehemently and the about the
Ἑρμᾶς ὑβρίσμασι καὶ τὰ μυστικὰ συμπλεκόντων, ὡς
Herms outrages and the mystic-things combining as
ἀπὸ μιᾶς ἐπὶ νεωτερισμῷ συνωμοσίας πεπραγμένα, τοὺς
from one for revolution conspiracy done those
μὲν ὁπωσοῦν ἐπαιτιαθέντας ἐνέβαλλον ἀκρίτους
indeed in-any-way-whatever accused they-threw untried
εἰς τὸ δεσμωτήριον, ἤχθοντο δὲ τὸν Ἀλκιβιάδην μὴ
into the prison they-were-vexed and — Alcibiades not
λαβόντες ὑπὸ τὰς ψήφους τότε μηδὲ κρίναντες ἐπ᾽ αἰτίαις
having-taken under the votes then nor having-tried on charges
τηλικαύταις. ὁ δὲ τῇ πρὸς ἐκεῖνον ὀργῇ παραπεσὼν
so-great the and in-the toward that-one anger having-fallen
οἰκεῖος ἢ φίλος ἢ συνήθης χαλεπωτέροις αὐτοῖς ἐχρήσατο.
kinsman or friend or acquaintance harsher them found

τοὺς δὲ μηνύσαντας ὁ μὲν Θουκυδίδης ὀνομάσαι παρῆκεν,
the and informers — indeed Thucydides to-name omitted
ἄλλοι δ' ὀνομάζουσι Διοκλείδαν καὶ Τεῦκρον, ὧν καὶ
others and name Diocleides and Teucrus of-whom also
Φρύνιχός ἐστιν ὁ κωμικὸς ταυτὶ πεποιηκώς·
Phrynichus is the comic-poet these-lines having-made

Ὦ φίλταθ' Ἑρμῆ, καὶ φυλάσσου, μὴ πεσὼν
O dearest Hermes also take-care lest having-fallen
αὑτὸν παρακρούσῃ καὶ παράσχῃς διαβολὴν
yourself you-crack and give occasion-of-slander
ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόν τι δρᾶν.
to-another Diocleides wishing evil some to-do

καί·
and

Φυλάξομαι· Τεύκρῳ γὰρ οὐχὶ βούλομαι
I-will-take-care to-Teucrus for not I-wish
μήνυτρα δοῦναι, τῷ παλαμναίῳ ξένῳ.
reward-for-informing to-give to-the blood-guilty stranger

Καίτοι βέβαιον οὐδὲν οὐδ' ἰσχυρὸν οἱ μηνύοντες ἐδείκνυσαν.
and-yet sure nothing nor strong the informers showed
εἷς δ' αὐτῶν ἐρωτώμενος ὅπως τὰ πρόσωπα τῶν
one and of-them being-asked how the faces of-the
Ἑρμοκοπιδῶν γνωρίσειε, καὶ ἀποκρινάμενος ὅτι πρὸς τὴν
Herm-mutilators be-recognized and having-answered that by the
σελήνην, ἐσφάλη τοῦ παντός, ἔνης καὶ νέας οὔσης ὅτε
moon was-wrong in-the whole of-the-old and new being when
ταῦτ' ἐδρᾶτο· ὃ θόρυβον μὲν παρέσχε τοῖς νοῦν
these-things were-done which confusion indeed caused to-those sense

ἔχουσι, τὸν δῆμον δ' οὐδὲ τοῦτο μαλακώτερον ἐποίησε
having the people but not-even this more-lenient made
πρὸς τὰς διαβολάς, ἀλλ' ὥσπερ ὥρμησεν ἐξ ἀρχῆς,
toward the slanders but as it-rushed from the-beginning
οὐκ ἐπαύσατο φέρων καὶ ἐμβάλλων εἰς τὸ δεσμωτήριον
not it-stopped carrying-off and throwing into the prison
οὗ τις κατείποι.
whomever anyone denounced

VI · EXILE IN SPARTA

Andocides saves himself by informing, and the Herm before his house stays whole. Recalled by the Salaminia, Alcibiades escapes at Thurii, is condemned to death in his absence, and is cursed by the priests, though the priestess Theano refuses. At Sparta he urges help for Syracuse, sending Gylippus, and the fortifying of Decelea, and wins the Spartans by his plain living, changing like a chameleon. He seduces King Agis' wife Timaea, whose son Leotychides is denied the throne, stirs Ionia to revolt, and, fearing Agis, goes over to Tisaphernes.

Τῶν οὖν δεθέντων καὶ φυλαττομένων ἐπὶ κρίσει τότε καὶ 21
of-those then imprisoned and guarded for trial then also
Ἀνδοκίδης ἦν ὁ ῥήτωρ, ὃν Ἑλλάνικος ὁ συγγραφεὺς εἰς
Andocides was the orator whom Hellanicus the historian to
τοὺς Ὀδυσσέως ἀπογόνους ἀνήγαγεν. ἐδόκει δὲ μισόδημος
the of-Odysseus descendants traced seemed and people-hating
καὶ ὀλιγαρχικὸς ὁ Ἀνδοκίδης, ὕποπτον δὲ οὐχ ἥκιστα τῆς
and oligarchic — Andocides suspected and not least of-the
τῶν Ἑρμῶν περικοπῆς ἐποίησεν ὁ μέγας Ἑρμῆς, ὁ πλησίον
of-the Herms mutilation made-him the great Herm the near
αὐτοῦ τῆς οἰκίας ἀνάθημα τῆς Αἰγηΐδος φυλῆς ἱδρυμένος·
of-his the house a-dedication of-the Aegeid tribe set-up

ἐν γὰρ ὀλίγοις πάνυ τῶν ἐπιφανῶν μόνος σχεδὸν
among for few very of-the notable alone almost
ἀκέραιος ἔμεινε· διὸ καὶ νῦν Ἀνδοκίδου καλεῖται, καὶ
unharmed remained wherefore also now of-Andocides it-is-called and
πάντες οὕτως ὀνομάζουσι τῆς ἐπιγραφῆς ἀντιμαρτυρούσης.
all so name-it the inscription testifying-against
Συνέβη δὲ τῷ Ἀνδοκίδῃ μάλιστα τῶν τὴν αὐτὴν αἰτίαν
happened and — for-Andocides most of-those the same charge
ἐχόντων ἐν τῷ δεσμωτηρίῳ γενέσθαι συνήθη καὶ φίλον
having in the prison to-become intimate and friend
ἔνδοξον μὲν οὐχ ὁμοίως ἐκείνῳ, συνέσει δὲ καὶ τόλμῃ
reputable indeed not equally to-him in-intelligence but and in-daring
περιττόν, ὄνομα Τίμαιον. οὗτος ἀναπείθει τὸν Ἀνδοκίδην
extraordinary by-name Timaeus this-man persuades — Andocides
ἑαυτοῦ κατήγορον καί τινων ἄλλων γενέσθαι μὴ πολλῶν·
of-himself accuser and of-some others to-become not many
ὁμολογήσαντι γὰρ ἄδειαν εἶναι κατὰ ψήφισμα τοῦ
to-one-having-confessed for immunity to-be by decree of-the
δήμου, τὰ δὲ τῆς κρίσεως ἄδηλα πᾶσι, τοῖς δὲ δυνατοῖς
people the but of-the trial uncertain for-all to-the and powerful
φοβερώτατα· βέλτιον δὲ σωθῆναι ψευδόμενον ἢ μετὰ τῆς
most-fearful better and to-be-saved lying than with the
αὐτῆς αἰτίας ἀποθανεῖν ἀδόξως, καὶ τὸ κοινῇ σκοποῦντι
same charge to-die ingloriously and the in-common for-one-considering
συμφέρον ὑπάρχειν, ὀλίγους καὶ ἀμφιβόλους προέμενον,
advantage to-be few and doubtful having-given-up
πολλοὺς καὶ ἀγαθοὺς ἐξελέσθαι τῆς ὀργῆς. ταῦτα τοῦ
many and good to-rescue from-the anger these-things —
Τιμαίου λέγοντος καὶ διδάσκοντος ὁ Ἀνδοκίδης ἐπείσθη,
Timaeus saying and teaching — Andocides was-persuaded
καὶ γενόμενος μηνυτὴς καθ' αὑτοῦ καὶ καθ' ἑτέρων ἔσχε
and having-become informer against himself and against others had

τὴν ἐκ τοῦ ψηφίσματος ἄδειαν αὐτός· οὓς δ᾽ ὠνόμασε
the from the decree immunity himself whom and he-named
πάντες πλὴν τῶν φυγόντων ἀπώλοντο. καὶ πίστεως
all except those having-fled perished and of-credibility
ἕνεκα προσέθηκεν αὐτοῖς οἰκέτας ἰδίους ὁ Ἀνδοκίδης.
for-the-sake he-added to-them servants his-own — Andocides
Οὐ μὴν ὅ γε δῆμος τὴν ὀργὴν ἅπασαν ἀφῆκεν ἐνταῦθα,
not indeed the at-least people the anger all let-go there
ἀλλὰ μᾶλλον ἀπαλλαγεὶς τῶν Ἑρμοκοπιδῶν ὥσπερ
but rather rid of-the Herm-mutilators as-if
σχολάζοντι τῷ θυμῷ πρὸς τὸν Ἀλκιβιάδην ὅλος ἐρρύη,
idle with-the passion toward — Alcibiades wholly streamed
καὶ τέλος ἀπέστειλε τὴν Σαλαμινίαν ἐπ᾽ αὐτόν, οὐ φαύλως
and finally sent — Salaminia for him not badly
αὐτό γε τοῦτο προστάξας, μὴ βιάζεσθαι μηδ᾽ ἅπτεσθαι
very at-least this ordering not to-use-force nor to-touch
τοῦ σώματος, ἀλλὰ τῷ μετρίῳ λόγῳ χρῆσθαι κελεύοντας
the body but the moderate language to-use bidding
ἀκολουθεῖν ἐπὶ κρίσιν καὶ πείθειν τὸν δῆμον. ἐφοβοῦντο
to-follow to trial and to-persuade the people they-feared
γὰρ ταραχὰς τοῦ στρατεύματος ἐν πολεμίᾳ γῇ καὶ στάσιν,
for disturbances of-the army in hostile land and mutiny
ὃ ῥᾳδίως ἂν ἐξειργάσατο βουληθεὶς ὁ Ἀλκιβιάδης.
which easily — would-have-brought-about having-wished — Alcibiades
καὶ γὰρ ἠθύμουν ἀπιόντος αὐτοῦ, καὶ πολλὴν τριβὴν
and for they-were-dispirited departing him and much delay
προσεδόκων καὶ μῆκος ἀργὸν ἐν τῷ Νικίᾳ
they-expected and length idle in-the-hands-of — Nicias
τὸν πόλεμον ἕξειν, καθάπερ μύωπος ἀφῃρημένου τῶν
the war to-have as-if a-spur having-been-removed from-the

πράξεων. ὁ γὰρ Λάμαχος ἦν μὲν πολεμικὸς καὶ ἀνδρώδης,
actions — for Lamachus was indeed warlike and manly
ἀξίωμα δ' οὐ προσῆν οὐδ' ὄγκος αὐτῷ διὰ πενίαν.
dignity but not belonged nor weight to-him because-of poverty
22 Εὐθὺς μὲν οὖν ἀποπλέων ὁ Ἀλκιβιάδης ἀφείλετο
at-once indeed then sailing-away — Alcibiades took-away
Μεσσήνην Ἀθηναίους. ἦσαν γὰρ οἱ μέλλοντες ἐνδιδόναι
Messene from-Athenians there-were for those about to-betray
τὴν πόλιν, οὓς ἐκεῖνος εἰδὼς σαφέστατα τοῖς Συρακουσίων
the city whom he knowing most-clearly to-the of-Syracusans
φίλοις ἐμήνυσε καὶ διέφθειρε τὴν πρᾶξιν. ἐν δὲ Θουρίοις
friends informed-against and ruined the action at and Thurii
γενόμενος καὶ ἀποβὰς τῆς τριήρους ἔκρυψεν ἑαυτὸν
having-arrived and having-disembarked from-the trireme hid himself
καὶ διέφυγε τοὺς ζητοῦντας. ἐπιγνόντος δέ τινος καὶ
and escaped those seeking having-recognized and someone and
εἰπόντος· "Οὐ πιστεύεις, ὦ Ἀλκιβιάδη, τῇ πατρίδι;" "Τὰ
having-said not do-you-trust O Alcibiades the fatherland the
μὲν ἄλλ'," ἔφη, "πάντα· περὶ δὲ τῆς ψυχῆς τῆς ἐμῆς
indeed other-things he-said all about but the life the my
οὐδὲ τῇ μητρί, μήπως ἀγνοήσασα τὴν μέλαιναν ἀντὶ
not-even the mother lest-somehow having-mistaken the black instead-of
τῆς λευκῆς ἐπενέγκῃ ψῆφον." ὕστερον δ' ἀκούσας ὅτι
the white she-cast vote later and having-heard that
θάνατον αὐτοῦ κατέγνωκεν ἡ πόλις· "Ἀλλ' ἐγώ," εἶπε,
death his has-condemned the city but I he-said
"δείξω αὐτοῖς ὅτι ζῶ."
will-show them that I-live
Τὴν μὲν οὖν εἰσαγγελίαν οὕτως ἔχουσαν ἀναγράφουσι·
the indeed then impeachment thus running they-record
"Θεσσαλὸς Κίμωνος Λακιάδης Ἀλκιβιάδην Κλεινίου
Thessalus son-of-Cimon of-Laciadae Alcibiades son-of-Cleinias

Σκαμβωνίδην εἰσήγγειλεν ἀδικεῖν περὶ τὼ θεώ, τὴν
of-Scambonidae impeached to-do-wrong concerning the two-goddesses —
Δήμητραν καὶ τὴν Κόρην, ἀπομιμούμενον τὰ μυστήρια καὶ
Demeter and — Kore mimicking the mysteries and
δεικνύοντα τοῖς αὑτοῦ ἑταίροις ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ, ἔχοντα
showing-them to-the his companions in the house the his-own wearing
στολὴν οἵανπερ ὁ ἱεροφάντης ἔχων δεικνύει τὰ ἱερά, καὶ
a-robe such-as the hierophant wearing shows the sacred-things and
ὀνομάζοντα αὐτὸν μὲν ἱεροφάντην, Πουλυτίωνα δὲ δᾳδοῦχον,
naming himself indeed hierophant Polytion and torch-bearer
κήρυκα δὲ Θεόδωρον Φηγαιᾶ, τοὺς δ' ἄλλους ἑταίρους
herald and Theodorus of-Phegaea the and other companions
μύστας προσαγορεύοντα καὶ ἐπόπτας παρὰ τὰ νόμιμα
initiates calling and epoptae contrary-to the customs
καὶ τὰ καθεστηκότα ὑπό τε Εὐμολπιδῶν καὶ Κηρύκων
and the established-rules by both Eumolpidae and Ceryces
καὶ τῶν ἱερέων τῶν ἐξ Ἐλευσῖνος." ἐρήμην δ' αὐτοῦ
and the priests the from Eleusis by-default and him
καταγνόντες καὶ τὰ χρήματα δημεύσαντες ἔτι καταρᾶσθαι
having-condemned and the property having-confiscated further to-curse
προσεψηφίσαντο πάντας ἱερεῖς καὶ ἱερείας, ὧν μόνην φασὶ
they-voted-besides all priests and priestesses of-whom alone they-say
Θεανὼ τὴν Μένωνος Ἀγραυλῆθεν ἀντειπεῖν πρὸς τὸ
Theano the of-Menon of-Agryle to-have-spoken-against to the
ψήφισμα, φάσκουσαν εὐχῶν, οὐ καταρῶν ἱέρειαν γεγονέναι.
decree saying of-prayers not of-cursings a-priestess to-have-become
Τοσούτων δὲ κατεψηφισμένων Ἀλκιβιάδου καὶ 23
so-many and having-been-decreed-against Alcibiades and
κατεγνωσμένων, ἐτύγχανε μὲν ἐν Ἄργει διατρίβων, ὡς
condemned he-happened indeed in Argos staying when
τὸ πρῶτον ἐκ Θουρίων ἀποδρὰς εἰς Πελοπόννησον
the first from Thurii having-run-away to Peloponnesus

διεκομίσθη, φοβούμενος δὲ τοὺς ἐχθροὺς καὶ παντάπασι
he-crossed fearing and the enemies and altogether
τῆς πατρίδος ἀπεγνωκὼς ἔπεμψεν εἰς Σπάρτην, ἀξιῶν
of-the fatherland having-despaired he-sent to Sparta asking
ἄδειαν αὐτῷ γενέσθαι καὶ πίστιν ἐπὶ μείζοσι
immunity for-him to-be and a-pledge on-the-strength-of greater
χρείαις καὶ ὠφελείαις ὧν πρότερον αὐτοὺς ἀμυνόμενος
services and benefits than-what before them defending-himself
ἔβλαψε. δόντων δὲ τῶν Σπαρτιατῶν καὶ δεξαμένων,
he-harmed having-granted and the Spartans and having-received-him
παραγενόμενος προθύμως ἓν μὲν εὐθὺς ἐξειργάσατο,
having-come eagerly one-thing indeed at-once he-accomplished
μέλλοντας καὶ ἀναβαλλομένους βοηθεῖν Συρακουσίοις
delaying and postponing to-help Syracusans
ἐγείρας καὶ παροξύνας πέμψαι Γύλιππον ἄρχοντα καὶ
having-roused and having-spurred to-send Gylippus as-commander and
θραῦσαι τὴν ἐκεῖ τῶν Ἀθηναίων δύναμιν· ἕτερον δέ, κινεῖν
to-shatter the there of-the Athenians force the-other and to-stir-up
τὸν αὐτόθεν πόλεμον ἐπὶ τοὺς Ἀθηναίους· τὸ δὲ τρίτον
the at-home war against the Athenians the and third
καὶ μέγιστον, ἐπιτειχίσαι Δεκέλειαν, οὗ μᾶλλον οὐδὲν
and greatest to-fortify Deceleia than-which more nothing
διειργάσατο καὶ κατοικοφθόρησε τὴν πόλιν.
ruined and wasted the city
Εὐδοκιμῶν δὲ δημοσίᾳ καὶ θαυμαζόμενος οὐχ ἧττον
winning-repute and publicly and admired no less
ἰδίᾳ τοὺς πολλοὺς κατεδημαγώγει καὶ κατεγοήτευε τῇ
privately the many he-won-over and bewitched with-the
διαίτῃ λακωνίζων, ὥσθ' ὁρῶντας ἐν χρῷ κουριῶντα
way-of-life Laconizing so-that seeing to the-skin cropped
καὶ ψυχρολουτοῦντα καὶ μάζῃ συνόντα καὶ ζωμῷ
and bathing-in-cold-water and with-barley-cake keeping-company and with-broth

μέλανι χρώμενον ἀπιστεῖν καὶ διαπορεῖν, εἴ ποτε
black eating to-disbelieve and to-doubt whether ever
μάγειρον ἐπὶ τῆς οἰκίας οὗτος ἀνὴρ ἔσχεν ἢ προσέβλεψε
a-cook in the house this man had or looked-at
μυρεψὸν ἢ Μιλησίας ἠνέσχετο θιγεῖν χλανίδος. ἦν
a-perfumer or of-a-Milesian endured to-touch cloak there-was
γάρ, ὥς φασι, μία δεινότης αὕτη τῶν πολλῶν ἐν
for as they-say one cleverness this of-the many in
αὐτῷ καὶ μηχανὴ θήρας ἀνθρώπων, συνεξομοιοῦσθαι
him and contrivance of-hunting of-men to-assimilate-himself
καὶ συνομοπαθεῖν τοῖς ἐπιτηδεύμασι καὶ ταῖς διαίταις,
and to-share-feelings with-the pursuits and the ways-of-life
ὀξυτέρας τρεπομένῳ τροπὰς τοῦ χαμαιλέοντος. πλὴν
quicker turning changes than-the chameleon except
ἐκεῖνος μέν, ὡς λέγεται, πρὸς ἓν ἐξαδυνατεῖ χρῶμα τὸ
that-one indeed as is-said to one is-unable color the
λευκὸν ἀφομοιοῦν ἑαυτόν· Ἀλκιβιάδῃ δὲ διὰ χρηστῶν ἰόντι
white to-liken itself to-Alcibiades but through good going
καὶ πονηρῶν ὁμοίως οὐδὲν ἦν ἀμίμητον οὐδ' ἀνεπιτήδευτον,
and bad alike nothing was inimitable nor unattempted
ἀλλ' ἐν Σπάρτῃ γυμναστικός, εὐτελής, σκυθρωπός, ἐν
but in Sparta athletic frugal sullen in
Ἰωνίᾳ χλιδανός, ἐπιτερπής, ῥᾴθυμος, ἐν Θράκῃ μεθυστικός,
Ionia luxurious pleasant easygoing in Thrace given-to-drink
ἐν Θετταλοῖς ἱππαστικός, Τισαφέρνῃ δὲ τῷ σατράπῃ
among Thessalians horsemanly to-Tisaphernes and the satrap
συνὼν ὑπερέβαλεν ὄγκῳ καὶ πολυτελείᾳ τὴν Περσικὴν
being-with he-outdid in-pomp and extravagance the Persian
μεγαλοπρέπειαν, οὐχ αὑτὸν ἐξιστὰς οὕτω ῥᾳδίως εἰς ἕτερον
magnificence not himself changing so easily into another
ἐξ ἑτέρου τρόπον, οὐδὲ πᾶσαν δεχόμενος τῷ ἤθει
from another manner nor every admitting in-the character

μεταβολήν, ἀλλ' ὅτι τῇ φύσει χρώμενος ἔμελλε λυπεῖν
change but because by-the nature using he-was-likely to-offend
τοὺς ἐντυγχάνοντας, εἰς πᾶν ἀεὶ τὸ πρόσφορον ἐκείνοις
those meeting-him into every always the suitable to-them
σχῆμα καὶ πλάσμα κατεδύετο καὶ κατέφευγεν. ἐν γοῦν τῇ
figure and mask he-slipped-into and took-refuge in at-any-rate —
Λακεδαίμονι πρὸς τὰ ἔξωθεν ἦν εἰπεῖν· "Οὐ παῖς
Lacedaemon as-to the outward-things it-was-possible to-say not son
Ἀχιλλέως, ἀλλ' ἐκεῖνος' εἴη ἂν 'αὐτός,' οἷον Λυκοῦργος
of-Achilles but he would-be — himself such-as Lycurgus
ἐπαίδευσε·" τοῖς δ' ἀληθινοῖς ἄν τις ἐπεφώνησεν αὐτοῦ
trained to-the but real — one might-have-exclaimed his
πάθεσι καὶ πράγμασιν· " Ἔστιν ἡ πάλαι γυνή."
feelings and deeds she-is the of-old woman
Τιμαίαν γὰρ τὴν Ἄγιδος γυναῖκα τοῦ βασιλέως
Timaea for the of-Agis wife the king
στρατευομένου καὶ ἀποδημοῦντος οὕτω διέφθειρεν ὥστε καὶ
being-on-campaign and abroad so he-seduced so-that even
κύειν ἐξ Ἀλκιβιάδου καὶ μὴ ἀρνεῖσθαι, καὶ τεκούσης
to-be-pregnant by Alcibiades and not to-deny and having-borne
παιδάριον ἄρρεν ἔξω μὲν Λεωτυχίδην καλεῖσθαι, τὸ δ'
a-little-child male outside indeed Leotychides to-be-called the but
ἐντὸς αὐτοῦ ψιθυριζόμενον ὄνομα πρὸς τὰς φίλας καὶ τὰς
inside his whispered name to the friends and the
ὀπαδοὺς ὑπὸ τῆς μητρὸς Ἀλκιβιάδην εἶναι· τοσοῦτος ἔρως
attendants by the mother Alcibiades to-be so-great passion
κατεῖχε τὴν ἄνθρωπον. ὁ δ' ἐντρυφῶν ἔλεγεν οὐχ ὕβρει
possessed the woman he and luxuriating said not from-insolence
τοῦτο πράττειν οὐδὲ κρατούμενος ὑφ' ἡδονῆς, ἀλλ' ὅπως
this to-do nor being-overcome by pleasure but so-that
Λακεδαιμονίων βασιλεύσωσιν οἱ ἐξ αὐτοῦ γεγονότες. οὕτω
of-Lacedaemonians might-reign those from him born so

πραττόμενα ταῦτα πολλοὶ κατηγόρουν πρὸς τὸν Ἄγιν.
being-done these-things many denounced to — Agis
ἐπίστευσε δὲ τῷ χρόνῳ μάλιστα, ὅτι σεισμοῦ γενομένου
he-believed and by-the time most because an-earthquake having-happened
φοβηθεὶς ἐξέδραμε τοῦ θαλάμου παρὰ τῆς γυναικός, εἶτα
having-feared he-ran-out of-the bedchamber from the wife then
δέκα μηνῶν οὐκέτι συνῆλθεν αὐτῇ, μεθ' οὗς γενόμενον τὸν
for-ten months no-longer slept-with her after which born —
Λεωτυχίδην ἀπέφησεν ἐξ αὐτοῦ μὴ γεγονέναι. καὶ διὰ
Leotychides he-denied from him not to-have-been-born and because-of
τοῦτο τῆς βασιλείας ἐξέπεσεν ὕστερον ὁ Λεωτυχίδης.
this from-the kingship was-excluded later — Leotychides
Μετὰ δὲ τὴν ἐν Σικελίᾳ τῶν Ἀθηναίων δυστυχίαν 24
after and the in Sicily of-the Athenians disaster
ἐπρέσβευσαν εἰς Σπάρτην ἅμα Χῖοι καὶ Λέσβιοι καὶ
sent-embassies to Sparta at-once Chians and Lesbians and
Κυζικηνοὶ περὶ ἀποστάσεως. πραττόντων δὲ Βοιωτῶν μὲν
Cyzicenes about revolt negotiating and Boeotians indeed
Λεσβίοις, Φαρναβάζου δὲ Κυζικηνοῖς, Ἀλκιβιάδῃ πεισθέντες
for-Lesbians Pharnabazus and for-Cyzicenes by-Alcibiades persuaded
εἵλοντο Χίοις πρὸ πάντων βοηθεῖν. ἐκπλεύσας δὲ καὶ
they-chose Chians before all to-help having-sailed-out and also
αὐτὸς ἀπέστησεν ὀλίγου δεῖν ἅπασαν Ἰωνίαν, καὶ πολλὰ
himself he-caused-to-revolt of-little to-lack all Ionia and much
συνὼν τοῖς τῶν Λακεδαιμονίων στρατηγοῖς ἔβλαπτε τοὺς
being-with the of-the Lacedaemonians generals he-barmed the
Ἀθηναίους. ὁ δ' Ἄγις ἐχθρὸς μὲν ὑπῆρχεν αὐτῷ διὰ
Athenians — and Agis hostile indeed was to-him because-of
τὴν γυναῖκα κακῶς πεπονθώς, ἤχθετο δὲ καὶ τῇ δόξῃ·
the wife badly having-been-treated he-was-vexed and also at-the fame
τὰ γὰρ πλεῖστα γίνεσθαι καὶ προχωρεῖν δι' Ἀλκιβιάδην
the for most to-happen and to-progress because-of Alcibiades

λόγος ἦν· τῶν δ' ἄλλων Σπαρτιατῶν οἱ δυνατώτατοι
report was of-the and other Spartans the most-powerful
καὶ φιλοτιμότατοι τὸν Ἀλκιβιάδην ἤδη ἐβαρύνοντο
and most-ambitious — Alcibiades already were-annoyed-by
διὰ φθόνον. ἴσχυσαν οὖν καὶ διεπράξαντο τοὺς οἴκοθεν
because-of envy they-prevailed then and accomplished the at-home
ἄρχοντας ἐπιστεῖλαι πρὸς Ἰωνίαν ὅπως ἀποκτείνωσιν αὐτόν.
magistrates to-send-word to Ionia that they-should-kill him
Ὁ δ' ἡσυχῇ προγνοὺς καὶ φοβηθεὶς τῶν μὲν
he and quietly having-learned-beforehand and having-feared of-the indeed
πράξεων πασῶν ἐκοινώνει τοῖς Λακεδαιμονίοις, τὸ δ' εἰς
actions all shared with-the Lacedaemonians the but into
χεῖρας ἰέναι παντάπασιν ἔφευγε, Τισαφέρνῃ δέ, τῷ βασιλέως
hands to-come altogether he-avoided to-Tisaphernes and the of-the-king
σατράπῃ, δοὺς ἑαυτὸν ὑπὲρ ἀσφαλείας εὐθὺς ἦν παρ'
satrap having-given himself for safety at-once was with
αὐτῷ πρῶτος καὶ μέγιστος. τὸ μὲν γὰρ πολύτροπον καὶ
him first and greatest the indeed for versatile and
περιττὸν αὐτοῦ τῆς δεινότητος οὐκ ὢν ἁπλοῦς, ἀλλὰ
extraordinary his of-the cleverness not being simple but
κακοήθης καὶ φιλοπόνηρος, ἐθαύμαζεν ὁ βάρβαρος· ταῖς
malicious and fond-of-rascals admired the barbarian with-the
δὲ καθ' ἡμέραν ἐν τῷ συσχολάζειν καὶ συνδιαιτᾶσθαι
and by day in the spending-leisure-together and living-together
χάρισιν οὐδὲν ἦν ἄτεγκτον ἦθος οὐδὲ φύσις ἀνάλωτος,
charms no was unyielding character nor nature uncapturable
ἀλλὰ καὶ δεδιόσι καὶ φθονοῦσιν ὅμως τὸ συγγενέσθαι
but even to-those-fearing and envying nevertheless the to-be-with
καὶ προσιδεῖν ἐκεῖνον ἡδονήν τινα καὶ φιλοφροσύνην παρεῖχε.
and to-look-at him pleasure some and friendliness gave
τἆλλ' οὖν ὢν καὶ μισέλλην ἐν τοῖς μάλιστα Περσῶν ὁ
for-the-rest then being also Greek-hating among the most of-Persians —

Τισαφέρνης, οὕτως ἐνεδίδου τῷ Ἀλκιβιάδῃ κολακευόμενος
Tisaphernes so yielded — to-Alcibiades being-flattered
ὥσθ' ὑπερβάλλειν αὐτὸν ἀντικολακεύων ἐκεῖνος. ὧν
so-that to-surpass him counter-flattering he of-which
γὰρ ἐκέκτητο παραδείσων τὸν κάλλιστον καὶ ὑδάτων καὶ
for he-possessed parks the most-beautiful and of-waters and
λειμώνων ὑγιεινῶν ἕνεκεν, διατριβὰς ἔχοντα καὶ καταφυγὰς
of-meadows wholesome on-account-of resorts having and retreats
ἠσκημένας βασιλικῶς καὶ περιττῶς, Ἀλκιβιάδην καλεῖν ἔθετο·
furnished royally and extravagantly Alcibiades to-call he-made
καὶ πάντες οὕτω καλοῦντες καὶ προσαγορεύοντες διετέλουν.
and all so calling and naming continued

VII · TISAPHERNES AND SAMOS

Fearing Agis, Alcibiades turns Tisaphernes against the Spartans and counsels him to wear down both sides. Offering Persian friendship, he turns the Athenians at Samos toward oligarchy; Phrynichus, who opposes him, offers the fleet to Astyochus and is later killed by Hermon. When the Four Hundred seize Athens, the army at Samos recalls Alcibiades, and he stops it from sailing against the Piraeus. He turns the battle at Abydos, escapes Tisaphernes' prison at Sardis, and destroys the Spartan fleet at Cyzicus, killing Mindarus.

Ἀπογνοὺς οὖν ὁ Ἀλκιβιάδης τὰ τῶν Σπαρτιατῶν ὡς 25
having-despaired then — Alcibiades the of-the Spartans as
ἄπιστα, καὶ φοβούμενος τὸν Ἆγιν, ἐκάκου καὶ διέβαλλε
untrustworthy and fearing — Agis he-harmed and slandered-them
πρὸς τὸν Τισαφέρνην, οὐκ ἐῶν βοηθεῖν αὐτοῖς προθύμως
to — Tisaphernes not allowing to-help them eagerly
οὐδὲ καταλύειν τοὺς Ἀθηναίους, ἀλλὰ γλίσχρως χορηγοῦντα
nor to-overthrow the Athenians but stingily supplying

θλίβειν καὶ ἀποκναίειν ἀτρέμα καὶ ποιεῖν ἀμφοτέρους
to-squeeze and to-wear-out quietly and to-make both
βασιλεῖ χειροήθεις καὶ καταπόνους ὑπ᾽ ἀλλήλων. ὁ δ᾽
for-the-king tame and worn-out by one-another he and
ἐπείθετο ῥᾳδίως καὶ δῆλος ἦν ἀγαπῶν καὶ θαυμάζων,
was-persuaded easily and clear was loving and admiring-him
ὥστ᾽ ἀποβλέπεσθαι τὸν Ἀλκιβιάδην ἑκατέρωθεν ὑπὸ τῶν
so-that to-be-looked-to — Alcibiades from-both-sides by the
Ἑλλήνων, τοὺς δ᾽ Ἀθηναίους μεταμέλεσθαι τοῖς γνωσθεῖσι
Greeks the and Athenians to-repent of-the decisions
περὶ αὐτοῦ κακῶς πάσχοντας, ἄχθεσθαι δὲ κἀκεῖνον ἤδη
about him badly faring to-be-vexed and him-too already
καὶ φοβεῖσθαι μὴ παντάπασι τῆς πόλεως ἀναιρεθείσης
and to-fear lest altogether the city having-been-destroyed
ὑπὸ Λακεδαιμονίοις γένηται μισούμενος.
under Lacedaemonians he-become hated
Ἐν δὲ τῇ Σάμῳ τότε πάντα τὰ πράγματα τοῖς Ἀθηναίοις
in and — Samos then all the affairs for-the Athenians
σχεδὸν ὑπῆρχε· κἀκεῖθεν ὁρμώμενοι τῇ ναυτικῇ
almost were and-from-there setting-out with-the naval
δυνάμει τὰ μὲν ἀνεκτῶντο τῶν ἀφεστώτων, τὰ δ᾽
force the indeed they-were-recovering of-those revolted the and
ἐφύλαττον ἁμῶς γέ πως ἔτι τοῖς πολεμίοις κατὰ
they-were-guarding somehow at-least in-some-way still to-the enemies by
θάλατταν ὄντες ἀξιόμαχοι, Τισαφέρνην δὲ φοβούμενοι καὶ
sea being a-match Tisaphernes but fearing and
τὰς λεγομένας ὅσον οὔπω παρεῖναι Φοινίσσας τριήρεις
the said as-much not-yet to-be-at-hand Phoenician triremes
πεντήκοντα καὶ ἑκατὸν οὔσας, ὧν ἀφικομένων οὐδεμία
fifty and a-hundred being which having-come no
σωτηρίας ἐλπὶς ὑπελείπετο τῇ πόλει. ταῦτα δ᾽ εἰδὼς
of-safety hope remained for-the city these-things and knowing

Ἀλκιβιάδης ἔπεμπε κρύφα πρὸς τοὺς ἐν Σάμῳ δυνατοὺς
Alcibiades sent secretly to those in Samos powerful
τῶν Ἀθηναίων, ἐλπίδας ἐνδιδοὺς παρέξειν τὸν Τισαφέρνην
of-the Athenians hopes offering to-make — Tisaphernes
φίλον, οὐ τοῖς πολλοῖς χαριζόμενος οὐδὲ πιστεύων ἐκείνοις,
friend not the many gratifying nor trusting them
ἀλλὰ τοῖς ἀρίστοις, εἰ τολμήσειαν ἄνδρες ἀγαθοὶ γενόμενοι
but the best if they-would-dare men good having-become
καὶ παύσαντες ὑβρίζοντα τὸν δῆμον αὐτοὶ δι' ἑαυτῶν
and having-stopped insolent the people themselves by themselves
σώζειν τὰ πράγματα καὶ τὴν πόλιν.
to-save the affairs and the city
Οἱ μὲν οὖν ἄλλοι σφόδρα προσεῖχον τῷ Ἀλκιβιάδῃ·
the indeed then others vehemently attended — to-Alcibiades
τῶν δὲ στρατηγῶν εἷς, Φρύνιχος ὁ Δειραδιώτης,
of-the and generals one Phrynichus the Deiradiote
ὑποπτεύσας, ὅπερ ἦν, τὸν Ἀλκιβιάδην οὐδέν τι μᾶλλον
having-suspected what-indeed was — Alcibiades no at-all more
ὀλιγαρχίας ἢ δημοκρατίας δεόμενον, ζητοῦντα δὲ πάντως
of-oligarchy than of-democracy in-need seeking but by-all-means
κατελθεῖν, ἐκ διαβολῆς τοῦ δήμου προθεραπεύειν καὶ
to-return from slander of-the people to-be-courting-beforehand and
ὑποδύεσθαι τοὺς δυνατούς, ἀνθίστατο. κρατούμενος δὲ
to-insinuate-himself-with the powerful opposed being-overruled and
τῇ γνώμῃ καὶ φανερῶς ἤδη τοῦ Ἀλκιβιάδου γεγονὼς
in-the opinion and openly already — of-Alcibiades having-become
ἐχθρός, ἐξήγγειλε κρύφα πρὸς Ἀστύοχον τὸν τῶν πολεμίων
an-enemy he-reported secretly to Astyochus the of-the enemies
ναύαρχον, ἐγκελευόμενος φυλάττεσθαι καὶ συλλαμβάνειν
admiral bidding to-guard-against and to-arrest
ὡς ἐπαμφοτερίζοντα τὸν Ἀλκιβιάδην. ἐλελήθει δ'
as double-dealing — Alcibiades he-had-failed-to-notice and

ἄρα προδότης προδότῃ διαλεγόμενος. τὸν γὰρ Τισαφέρνην
then a-traitor with-a-traitor conversing — for Tisaphernes
ἐκπεπληγμένος ὁ Ἀστύοχος, καὶ τὸν Ἀλκιβιάδην ὁρῶν
dazzled-by — Astyochus and — Alcibiades seeing
παρ᾽ αὐτῷ μέγαν ὄντα, κατεμήνυσε τὰ τοῦ Φρυνίχου πρὸς
with him great being he-informed-on the — of-Phrynichus to
αὐτούς. ὁ δ᾽ Ἀλκιβιάδης εὐθὺς εἰς Σάμον ἔπεμψε τοὺς τοῦ
them — and Alcibiades at-once to Samos sent those —
Φρυνίχου κατηγορήσοντας. ἀγανακτούντων δὲ πάντων καὶ
of-Phrynichus going-to-accuse being-indignant and all and
συνισταμένων ἐπὶ τὸν Φρύνιχον, οὐχ ὁρῶν ἑτέραν διαφυγὴν
combining against — Phrynichus not seeing other escape
ἐκ τῶν παρόντων ἐπεχείρησεν ἰάσασθαι μείζονι κακῷ
from the present-circumstances attempted to-cure with-greater evil
τὸ κακόν. αὖθις γὰρ ἔπεμψε πρὸς τὸν Ἀστύοχον, ἐγκαλῶν
the evil again for he-sent to — Astyochus complaining
μὲν ὑπὲρ τῆς μηνύσεως, ἐπαγγελλόμενος δὲ τὰς ναῦς καὶ
indeed about the information promising and the ships and
τὸ στρατόπεδον τῶν Ἀθηναίων ὑποχείριον αὐτῷ παρέξειν.
the camp of-the Athenians subject to-him to-deliver
Οὐ μὴν ἔβλαψέ γε τοὺς Ἀθηναίους ἡ τοῦ Φρυνίχου
not indeed harmed at-least the Athenians the — of-Phrynichus
προδοσία διὰ τὴν Ἀστυόχου παλιμπροδοσίαν. καὶ
treason because-of the of-Astyochus counter-treason and
γὰρ ταῦτα κατεῖπε τοῦ Φρυνίχου πρὸς τοὺς περὶ
for these-things he-told — of-Phrynichus to those about
τὸν Ἀλκιβιάδην. ὁ δὲ Φρύνιχος προαισθόμενος καὶ
— Alcibiades — and Phrynichus having-foreseen and
προσδεχόμενος δευτέραν κατηγορίαν παρὰ τοῦ Ἀλκιβιάδου,
expecting a-second accusation from — Alcibiades
φθάσας αὐτὸς προεῖπε τοῖς Ἀθηναίοις ὅτι μέλλουσιν
having-anticipated himself foretold to-the Athenians that are-about

ἐπιπλεῖν οἱ πολέμιοι, καὶ παρήνεσε πρὸς ταῖς ναυσὶν εἶναι
to-sail-against the enemies and advised by the ships to-be
καὶ περιτειχίσαι τὸ στρατόπεδον. ἐπεὶ δὲ πραττόντων
and to-wall-around the camp when and doing
ταῦτα τῶν Ἀθηναίων ἦκε γράμματα πάλιν παρὰ τοῦ
these-things the Athenians came letters again from —
Ἀλκιβιάδου, φυλάττεσθαι κελεύοντος τὸν Φρύνιχον ὡς
Alcibiades to-guard-against bidding — Phrynichus as
προδιδόντα τοῖς πολεμίοις τὸν ναύσταθμον, ἠπίστησαν
betraying to-the enemies the naval-station they-disbelieved
οἰόμενοι τὸν Ἀλκιβιάδην εἰδότα σαφῶς τὴν τῶν πολεμίων
thinking — Alcibiades knowing clearly the of-the enemies
παρασκευὴν καὶ διάνοιαν ἀποχρῆσθαι πρὸς τὴν τοῦ Φρυνίχου
preparation and intention to-be-misusing-it for the — of-Phrynichus
διαβολὴν οὐκ ἀληθῶς. ὕστερον μέντοι τὸν Φρύνιχον ἑνὸς
slander not truly later however — Phrynichus one
τῶν περιπόλων Ἕρμωνος ἐν ἀγορᾷ πατάξαντος ἐγχειριδίῳ
of-the patrols Hermon in market-place having-struck with-a-dagger
καὶ διαφθείραντος, οἱ Ἀθηναῖοι δίκης γενομένης τοῦ μὲν
and having-killed the Athenians a-trial having-been-held — indeed
Φρυνίχου προδοσίαν κατεψηφίσαντο τεθνηκότος, τὸν δ'
of-Phrynichus treason condemned dead — and
Ἕρμωνα καὶ τοὺς μετ' αὐτοῦ συστάντας ἐστεφάνωσαν.
Hermon and those with him having-banded-together crowned
Ἐν δὲ τῇ Σάμῳ τότε κρατήσαντες οἱ Ἀλκιβιάδου φίλοι 26
in and — Samos then having-prevailed the of-Alcibiades friends
πέμπουσι Πείσανδρον εἰς ἄστυ κινήσοντα τὴν πολιτείαν
send Peisander to town going-to-change the constitution
καὶ παραθαρρυνοῦντα τοὺς δυνατοὺς τῶν πραγμάτων
and going-to-encourage the powerful the affairs
ἀντιλαμβάνεσθαι καὶ καταλύειν τὸν δῆμον, ὡς ἐπὶ τούτοις
to-take-hold-of and to-overthrow the democracy as on these-terms

τοῦ Ἀλκιβιάδου Τισαφέρνην αὐτοῖς φίλον καὶ σύμμαχον
— *Alcibiades Tisaphernes to-them friend and ally*
παρέξοντος. αὕτη γὰρ ἦν πρόφασις καὶ τοῦτο πρόσχημα
going-to-provide this for was the-pretext and this a-screen
τοῖς καθιστᾶσι τὴν ὀλιγαρχίαν. ἐπεὶ δ' ἴσχυσαν καὶ
for-those establishing the oligarchy when and they-prevailed and
παρέλαβον τὰ πράγματα οἱ πεντακισχίλιοι λεγόμενοι,
took-over the affairs the five-thousand so-called
τετρακόσιοι δὲ ὄντες, ἐλάχιστα τῷ Ἀλκιβιάδῃ προσεῖχον
four-hundred but being least — to-Alcibiades attended
ἤδη καὶ μαλακώτερον ἥπτοντο τοῦ πολέμου, τὰ μὲν
already and more-slackly laid-hold-of the war partly indeed
ἀπιστοῦντες ἔτι πρὸς τὴν μεταβολὴν ξενοπαθοῦσι τοῖς
distrusting still toward the change feeling-strange the
πολίταις, τὰ δ' οἰόμενοι μᾶλλον ἐνδώσειν αὐτοῖς
citizens partly and thinking more to-give-way to-them
Λακεδαιμονίους ἀεὶ πρὸς ὀλιγαρχίαν ἐπιτηδείως ἔχοντας.
Lacedaemonians always toward oligarchy favorably being-disposed
ὁ μὲν οὖν κατὰ τὴν πόλιν δῆμος ἄκων ὑπὸ δέους
the indeed then in the city people unwilling from fear
ἡσυχίαν ἦγε· καὶ γὰρ ἀπεσφάγησαν οὐκ ὀλίγοι τῶν
quiet kept and for were-slaughtered not few of-those
ἐναντιουμένων φανερῶς τοῖς τετρακοσίοις· οἱ δ' ἐν
opposing openly the four-hundred those but in
Σάμῳ ταῦτα πυνθανόμενοι καὶ ἀγανακτοῦντες ὥρμηντο
Samos these-things learning and being-indignant were-eager
πλεῖν εὐθὺς ἐπὶ τὸν Πειραιᾶ, καὶ μεταπεμψάμενοι τὸν
to-sail at-once against — Piraeus and having-summoned —
Ἀλκιβιάδην καὶ στρατηγὸν ἀποδείξαντες ἐκέλευον ἡγεῖσθαι
Alcibiades and general having-appointed they-bade to-lead
καὶ καταλύειν τοὺς τυράννους.
and to-overthrow the tyrants

Ὁ δ᾽ οὐχ οἷον ἄν τις ἐξαίφνης χάριτι τῶν πολλῶν
he but not such-as — one suddenly by-favor of-the many
μέγας γεγονὼς ἔπαθε καὶ ἠγάπησε, πάντα δεῖν
great having-become would-feel and was-pleased everything it-is-needful
εὐθὺς οἰόμενος χαρίζεσθαι καὶ μηδὲν ἀντιλέγειν τοῖς
at-once thinking to-gratify and nothing to-oppose to-those-who
ἐκ πλάνητος καὶ φυγάδος αὐτὸν νεῶν τοσούτων καὶ
from a-wanderer and exile him of-ships so-many and
στρατοπέδου καὶ δυνάμεως τηλικαύτης ἀποδείξασιν ἡγεμόνα
of-camp and of-power so-great having-appointed leader
καὶ στρατηγόν, ἀλλ᾽ ὅπερ ἦν ἄρχοντι μεγάλῳ
and general but what-indeed was for-a-commander great
προσῆκον, ἀνθίστασθαι φερομένοις ὑπ᾽ ὀργῆς, κωλύσας
fitting to-oppose those-carried by anger having-prevented
ἐξαμαρτεῖν, τότε γοῦν τὰ πράγματα τῇ πόλει περιφανῶς
to-err then at-least the affairs for-the city manifestly
ἔσωσεν. εἰ γὰρ ἄραντες ἀπέπλευσαν οἴκαδε, τοῖς
he-saved if for having-weighed-anchor they-had-sailed-away home to-the
μὲν πολεμίοις εὐθὺς ἔχειν ὑπῆρχεν Ἰωνίαν ἅπασαν, καὶ
indeed enemies at-once to-have was-possible Ionia all and
τὸν Ἑλλήσποντον ἀμαχεί, καὶ τὰς νήσους, Ἀθηναίοις
the Hellespont without-a-battle and the islands Athenians
δὲ πρὸς Ἀθηναίους μάχεσθαι τὸν πόλεμον εἰς τὴν πόλιν
and against Athenians to-fight the war into the city
ἐμβαλόντας· ὃν μόνος μάλιστα μὴ γενέσθαι διεκώλυσεν
having-carried which alone most not to-happen prevented
ὁ Ἀλκιβιάδης, οὐ μόνον πείθων καὶ διδάσκων τὸ πλῆθος,
— Alcibiades not only persuading and teaching the multitude
ἀλλὰ καὶ καθ᾽ ἕνα τοὺς μὲν ἀντιβολῶν, τῶν δ᾽
but also by one the-some indeed entreating the-others and
ἐπιλαμβανόμενος. συνέπραττε δ᾽ αὐτῷ καὶ Θρασύβουλος
laying-hold-of cooperated and with-him also Thrasybulus

ὁ Στειριεὺς ἅμα παρὼν καὶ κεκραγώς· ἦν γάρ, ὡς
the Steirian at-once being-present and shouting he-was for as
λέγεται, μεγαλοφωνότατος Ἀθηναίων.
is-said loudest-voiced of-Athenians
Ἐκεῖνό τε δὴ καλὸν τοῦ Ἀλκιβιάδου καὶ δεύτερον,
that both indeed fine — of-Alcibiades and second
ὅτι ὑποσχόμενος τὰς Φοινίσσας ναῦς, ἃς προσεδέχοντο
that having-promised the Phoenician ships which expected
Λακεδαιμόνιοι βασιλέως πέμψαντος, ἢ μεταστήσειν πρὸς
Lacedaemonians the-king having-sent either to-bring-over to
αὐτοὺς ἢ διαπράξεσθαι μηδὲ πρὸς ἐκείνους κομισθῆναι,
them or to-effect not-even to those to-be-brought
διὰ ταχέων ἐξέπλευσε. καὶ τὰς μὲν ναῦς ἐκφανείσας
with speed he-sailed-out and the indeed ships having-appeared
περὶ Ἄσπενδον οὐκ ἤγαγεν ὁ Τισαφέρνης, ἀλλ' ἐψεύσατο
near Aspendus not brought — Tisaphernes but cheated
τοὺς Λακεδαιμονίους, τὴν δ' αἰτίαν τοῦ ἀποτρέψαι παρ'
the Lacedaemonians the but blame of-the to-turn-back with
ἀμφοτέροις ὁ Ἀλκιβιάδης εἶχε, καὶ μᾶλλον ἔτι παρὰ τοῖς
both — Alcibiades had and more still with the
Λακεδαιμονίοις, ὡς διδάσκων τὸν βάρβαρον αὐτοὺς ὑφ'
Lacedaemonians as teaching the barbarian them by
αὑτῶν περιορᾶν ἀπολλυμένους τοὺς Ἕλληνας. οὐ γὰρ ἦν
themselves to-look-on destroyed the Greeks not for it-was
ἄδηλον ὅτι τοῖς ἑτέροις δύναμις τοσαύτη προσγενομένη
unclear that to-the one-side force so-great added
τοὺς ἑτέρους ἀφῃρεῖτο κομιδῇ τὸ κράτος τῆς θαλάττης.
from-the other-side would-take-away entirely the mastery of-the sea
27 Ἐκ τούτου κατελύθησαν μὲν οἱ τετρακόσιοι, τῶν
from this were-overthrown indeed the four-hundred the
Ἀλκιβιάδου φίλων προθύμως συλλαμβανομένων τοῖς τὰ
of-Alcibiades friends eagerly helping those the

δήμου φρονοῦσι· βουλομένων δὲ τῶν ἐν ἄστει καὶ
of-the-people favoring wishing and those in town and
κελευόντων κατιέναι τὸν Ἀλκιβιάδην αὐτὸς ᾤετο δεῖν
bidding to-return — Alcibiades himself thought it-needful
μὴ κεναῖς χερσὶ μηδὲ ἀπράκτοις, οἴκτῳ καὶ χάριτι
not with-empty hands nor idle by-pity and favor
τῶν πολλῶν, ἀλλ' ἐνδόξως κατελθεῖν. διὸ πρῶτον
of-the many but gloriously to-return wherefore first
μὲν ὀλίγαις ναυσὶν ἐκ Σάμου περιέπλει τὴν Κνιδίων
indeed with-few ships from Samos he-sailed-around the of-Cnidians
καὶ Κῴων θάλασσαν· ἐκεῖ δ' ἀκούσας Μίνδαρον τὸν
and of-Coans sea there and having-heard Mindarus the
Σπαρτιάτην εἰς Ἑλλήσποντον ἀναπλεῖν τῷ στόλῳ παντὶ
Spartan into Hellespont to-be-sailing-up with-the fleet whole
καὶ τοὺς Ἀθηναίους ἐπακολουθεῖν, ἠπείγετο βοηθῆσαι τοῖς
and the Athenians to-be-following-after he-hastened to-help the
στρατηγοῖς. καὶ κατὰ τύχην εἰς τοῦτο καιροῦ συνήνυσε
generals and by chance at this-point of-time he-arrived
πλέων ὀκτωκαίδεκα τριήρεσιν, ἐν ᾗ πάσαις ὁμοῦ ταῖς
sailing with-eighteen triremes in which with-all together the
ναυσὶ συμπεσόντες εἰς τὸ αὐτὸ καὶ διαναυμαχοῦντες περὶ
ships having-clashed into the same and fighting-it-out-at-sea near
Ἄβυδον ἀμφότεροι τοῖς μὲν ἡττώμενοι μέρεσι, τοῖς δὲ
Abydos both in-the indeed being-worsted parts in-the and
νικῶντες ἄχρι δείλης ἀγῶνι μεγάλῳ συνείχοντο. καὶ
winning until evening in-a-contest great were-engaged and
παρέσχε μὲν ἐναντίαν δόξαν ἀμφοτέροις ἐπιφανείς,
he-gave indeed opposite impression to-both having-appeared
ὥστε θαρρεῖν μὲν τοὺς πολεμίους, θορυβεῖσθαι δὲ τοὺς
so-that to-be-bold indeed the enemies to-be-alarmed and the
Ἀθηναίους. ταχὺ δὲ σημεῖον ἄρας ἀπὸ τῆς ναυαρχίδος
Athenians quickly but a-signal having-raised from the flagship

φίλιον ὥρμησεν εὐθὺς ἐπὶ τοὺς κρατοῦντας καὶ διώκοντας
friendly he-rushed at-once against those prevailing and pursuing
τῶν Πελοποννησίων. τρεψάμενος δ' αὐτοὺς ἐξέωσεν
of-the Peloponnesians having-routed and them he-drove
εἰς τὴν γῆν, καὶ προσκείμενος ἔκοπτε τὰς ναῦς καὶ
into the land and pressing-on was-hacking the ships and
συνετίτρωσκε, τῶν ἀνδρῶν ἐκνεόντων καὶ Φαρναβάζου πεζῇ
was-shattering the men swimming-out and Pharnabazus on-foot
προσβοηθοῦντος αὐτοῖς καὶ μαχομένου παρὰ τὴν θάλατταν
helping them and fighting along the sea
ὑπὲρ τῶν νεῶν. τέλος δὲ τῶν μὲν πολεμίων τριάκοντα
on-behalf-of the ships finally and of-the indeed enemies thirty
λαβόντες, ἀνασώσαντες δὲ τὰς αὑτῶν, τρόπαιον ἔστησαν.
having-taken having-saved and the their-own a-trophy they-set-up
Οὕτω δὲ λαμπρᾷ χρησάμενος εὐτυχίᾳ, καὶ φιλοτιμούμενος
so and brilliant having-used success and being-ambitious
εὐθὺς ἐγκαλλωπίσασθαι τῷ Τισαφέρνῃ, ξένια καὶ δῶρα
at-once to-show-off — to-Tisaphernes guest-gifts and presents
παρασκευασάμενος καὶ θεραπείαν ἔχων ἡγεμονικὴν
having-prepared and retinue having fit-for-a-commander
ἐπορεύετο πρὸς αὐτόν. οὐ μὴν ἔτυχεν ὧν προσεδόκησεν,
he-went to him not indeed he-got what he-expected
ἀλλὰ πάλαι κακῶς ἀκούων ὁ Τισαφέρνης ὑπὸ τῶν
but long badly being-spoken-of — Tisaphernes by the
Λακεδαιμονίων, καὶ φοβούμενος αἰτίαν λαβεῖν ἐκ βασιλέως,
Lacedaemonians and fearing blame to-get from the-king
ἔδοξεν ἐν καιρῷ τὸν Ἀλκιβιάδην ἀφῖχθαι, καὶ συλλαβὼν
it-seemed in good-time — Alcibiades to-have-come and having-arrested
αὐτὸν εἶρξεν ἐν Σάρδεσιν ὡς λύσιν ἐκείνης τῆς διαβολῆς
him imprisoned in Sardis as release of-that the slander
τὴν ἀδικίαν ταύτην ἐσομένην.
the wrong this going-to-be

Τριάκοντα δ' ἡμερῶν διαγενομένων ὁ Ἀλκιβιάδης 28
thirty and days having-passed — Alcibiades
ἵππου ποθὲν εὐπορήσας καὶ ἀποδρὰς τοὺς φύλακας
a-horse from-somewhere having-got and having-escaped the guards
εἰς Κλαζομενὰς διέφυγε. καὶ τὸν μὲν Τισαφέρνην
to Clazomenae fled and — indeed Tisaphernes
προσδιέβαλλεν ὡς ὑπ' ἐκείνου μεθειμένος, αὐτὸς δὲ
he-slandered-further as by him released himself and
πλεύσας εἰς τὸ στρατόπεδον τῶν Ἀθηναίων καὶ πυθόμενος
having-sailed to the camp of-the Athenians and having-learned
Μίνδαρον ὁμοῦ καὶ Φαρνάβαζον ἐν Κυζίκῳ γεγονέναι, τοὺς
Mindarus together and Pharnabazus in Cyzicus to-be the
μὲν στρατιώτας παρώρμησεν, ὡς ἀνάγκην οὖσαν αὐτοῖς
indeed soldiers he-urged-on that necessity being for-them
καὶ ναυμαχεῖν καὶ πεζομαχεῖν καὶ νὴ Δία τειχομαχεῖν
both to-fight-at-sea and to-fight-on-land and by Zeus to-fight-against-walls
πρὸς τοὺς πολεμίους· χρήματα γὰρ οὐκ εἶναι μὴ πάντη
against the enemies money for not to-be unless everywhere
κρατοῦσι· πληρώσας δὲ τὰς ναῦς καὶ κατάρας εἰς
conquering having-manned and the ships and having-put-in at
Προικόννησον ἐκέλευσεν ἐντὸς περιβάλλειν τὰ λεπτὰ
Proconnesus he-bade within to-enclose the light
πλοῖα καὶ παραφυλάσσειν, ὅπως μηδεμία τοῖς πολεμίοις
boats and to-keep-watch so-that no to-the enemies
ἐπιπλέοντος αὐτοῦ γένοιτο μηδαμόθεν προαίσθησις.
sailing-against him might-be from-anywhere forewarning
Ἔτυχε δὲ καὶ πολὺν ὄμβρον ἐξαίφνης ἐπιπεσόντα καὶ
it-happened and also much rain suddenly having-fallen and
βροντὰς καὶ ζόφον συνεργῆσαι καὶ συνεπικρύψαι τὴν
thunders and darkness to-cooperate and to-help-hide the
παρασκευήν. οὐ γὰρ μόνον τοὺς πολεμίους ἔλαθεν,
preparation not for only the enemies he-escaped-notice-of

ἀλλὰ καὶ τοὺς Ἀθηναίους ἀπεγνωκότας ἤδη ἐμβῆναι
but also the Athenians having-given-up-hope already to-embark
κελεύσας ἀνήχθη. καὶ μετὰ μικρὸν ὅ τε ζόφος διελύθη
having-ordered he-put-out and after a-little the both darkness was-dispersed
καὶ κατώφθησαν αἱ τῶν Πελοποννησίων νῆες αἰωρούμεναι
and were-seen the of-the Peloponnesians ships riding
πρὸ τοῦ λιμένος τῶν Κυζικηνῶν. δείσας οὖν ὁ
before the harbor of-the Cyzicenes having-feared then —
Ἀλκιβιάδης μὴ διὰ τὸ πλῆθος αὐτὸν προϊδόντες
Alcibiades lest because-of the number him having-seen-beforehand
εἰς τὴν γῆν καταφύγωσι, τοὺς μὲν στρατηγοὺς ἐκέλευσεν
to the land they-flee the indeed generals he-bade
ἡσυχῇ πλέοντας ὑπολείπεσθαι, αὐτὸς δὲ τετταράκοντα
quietly sailing to-be-left-behind himself and forty
ναῦς ἔχων ἐφαίνετο καὶ προὐκαλεῖτο τοὺς πολεμίους.
ships having appeared and challenged the enemies
ἐπεὶ δ' ἐξηπάτηντο καὶ καταφρονήσαντες ὡς ἐπὶ
when and they-had-been-deceived and having-despised as against
τοσαύτας ἀντεξήλασαν, αὐτοὶ μὲν εὐθὺς ἐξήπτοντο
so-few rowed-out-against-them they indeed at-once were-engaging
καὶ συνεπλέκοντο, τῶν δ' ἄλλων ἤδη μαχομένοις
and grappling of-the and others already with-the-fighting
ἐπιφερομένων ἐκπλαγέντες ἔφευγον.
bearing-down terrified they-fled
Ὁ δ' Ἀλκιβιάδης εἴκοσι ταῖς ἀρίσταις διεκπλεύσας
— and Alcibiades with-twenty the best having-broken-through
καὶ προσβαλὼν τῇ γῇ καὶ ἀποβάς, ἐνέκειτο τοῖς
and having-put-in to-the land and having-disembarked pressed-on those
φεύγουσιν ἐκ τῶν νεῶν καὶ πολλοὺς ἔφθειρε· Μινδάρου
fleeing from the ships and many killed Mindarus
δὲ καὶ Φαρναβάζου προσβοηθούντων κρατήσας, τὸν
and and Pharnabazus coming-to-help having-prevailed —

μὲν Μίνδαρον ἀνεῖλεν ἐρρωμένως ἀγωνιζόμενον, ὁ δὲ
indeed Mindarus he-killed stoutly fighting — and
Φαρνάβαζος ἔφυγε. πολλῶν δὲ καὶ νεκρῶν καὶ ὅπλων
Pharnabazus fled many and both corpses and arms
κρατήσαντες τάς τε ναῦς ἁπάσας ἔλαβον, χειρωσάμενοι
having-mastered the both ships all they-took having-subdued
δὲ καὶ Κύζικον, ἐκλιπόντος τοῦ Φαρναβάζου καὶ τῶν
and also Cyzicus having-abandoned-it — Pharnabazus and the
Πελοποννησίων διαφθαρέντων, οὐ μόνον τὸν Ἑλλήσποντον
Peloponnesians having-been-destroyed not only the Hellespont
εἶχον βεβαίως, ἀλλὰ καὶ τῆς ἄλλης θαλάττης
they-held firmly but also from-the other sea
ἐξήλασαν κατὰ κράτος τοὺς Λακεδαιμονίους. ἑάλω
they-drove by force the Lacedaemonians was-captured
δὲ καὶ γράμματα λακωνικῶς φράζοντα τοῖς Ἐφόροις
and also a-letter laconically telling to-the ephors
τὴν γεγενημένην ἀτυχίαν· “Ἔρρει τὰ κᾶλα· Μίνδαρος
the having-happened disaster gone the timbers Mindarus
ἀπεσσούα· πεινῶντι τῶνδρες· ἀπορίομες τί χρὴ δρᾶν.”
is-gone are-starving the-men we-are-at-a-loss what one-must do

Alcibiades' men scorn Thrasyllus' troops until a joint victory over Pharnabazus unites them; he besieges Chalcedon, kills Hippocrates, and swears to the generals' terms with Pharnabazus once Pharnabazus has sworn. He takes Selymbria by a daring entry and a proclamation, then sends his Thracians out to spare it from plunder, and wins Byzantium through traitors, one of whom, Anaxilaus, is acquitted at Sparta. He sails home with spoils and captured ships; Duris' tale of a flute-player and purple sails is in none of the historians. The city receives him with tears and crowns, reckoning that Sicily would not have been lost had he kept the command.

29 Οὕτω δ' ἐπήρθησαν οἱ μετὰ τοῦ Ἀλκιβιάδου στρατευσάμενοι
so and were-elated those with — Alcibiades having-served
καὶ τοσοῦτον ἐφρόνησαν ὥστ' ἀπαξιοῦν ἔτι τοῖς ἄλλοις
and so-much were-proud so-that to-disdain still with-the other
καταμιγνύναι στρατιώταις ἑαυτοὺς πολλάκις ἡττημένοις
to-mix soldiers themselves often having-been-defeated
ἀηττήτους ὄντας. καὶ γὰρ οὐ πολλῷ πρότερον συνεβεβήκει
undefeated being and for not much before it-had-happened
πταίσαντος περὶ Ἔφεσον τοῦ Θρασύλλου τὸ χαλκοῦν
having-failed near Ephesus — Thrasyllus the bronze
ἀνεστάναι τρόπαιον ὑπὸ τῶν Ἐφεσίων ἐπ' αἰσχύνῃ τῶν
to-have-been-set-up trophy by the Ephesians for disgrace of-the
Ἀθηναίων. ταῦτ' οὖν ὠνείδιζον οἱ μετὰ τοῦ Ἀλκιβιάδου
Athenians these-things then reproached those with — Alcibiades
τοῖς μετὰ τοῦ Θρασύλλου, μεγαλύνοντες αὑτοὺς καὶ τὸν
to-those with — Thrasyllus magnifying themselves and the
στρατηγόν, ἐκείνοις δὲ μήτε γυμνασίων μήτε χώρας ἐν
general with-those and neither of-exercise-grounds nor of-space in
στρατοπέδῳ κοινωνεῖν ἐθέλοντες. ἐπεὶ δὲ Φαρνάβαζος ἱππέας

τε πολλοὺς ἔχων καὶ πεζοὺς ἐπῆλθεν αὐτοῖς ἐμβεβληκόσιν
both many having and foot-soldiers attacked them having-invaded
εἰς τὴν Ἀβυδηνῶν, ὁ δ' Ἀλκιβιάδης ἐκβοηθήσας ἐπ'
into the of-Abydenes — and Alcibiades having-sallied-out against
αὐτὸν ἐτρέψατο καὶ κατεδίωξεν ἄχρι σκότους μετὰ τοῦ
him routed and pursued until darkness with —
Θρασύλλου, καὶ ἀνεμίγνυντο καὶ κοινῇ φιλοφρονούμενοι
Thrasyllus and they-mingled and in-common showing-friendship
καὶ χαίροντες ἐπανῄεσαν εἰς τὸ στρατόπεδον.
and rejoicing returned to the camp
Τῇ δ' ὑστεραίᾳ στήσας τρόπαιον ἐλεηλάτει τὴν
on-the and next-day having-set-up a-trophy he-plundered the
Φαρναβάζου χώραν οὐδενὸς ἀμύνεσθαι τολμῶντος. ἱερεῖς
of-Pharnabazus country no-one to-resist daring priests
μέντοι καὶ ἱερείας ἔλαβε μέν, ἀλλ' ἀφῆκεν ἄνευ λύτρων.
however and priestesses he-took indeed but released-them without ransom
Χαλκηδονίοις δ' ἀφεστῶσι καὶ δεδεγμένοις φρουρὰν καὶ
with-Chalcedonians and having-revolted and having-received a-garrison and
ἁρμοστὴν Λακεδαιμονίων ὡρμημένος πολεμεῖν, ἀκούσας
harmost of-Lacedaemonians setting-out to-make-war having-heard
δ' ὅτι τὴν λείαν πᾶσαν ἐκ τῆς χώρας συναγαγόντες εἰς
and that the booty all from the country having-collected to
Βιθυνοὺς ὑπεκτίθενται φίλους ὄντας, ἦκεν ἐπὶ τοὺς ὅρους
Bithynians they-are-depositing friends being he-came to the borders
ἄγων τὸ στράτευμα, καὶ κήρυκα προπέμψας ἐνεκάλει
leading the army and a-herald having-sent-ahead he-accused
τοῖς Βιθυνοῖς. οἱ δὲ δείσαντες τήν τε λείαν ἀπέδοσαν
the Bithynians they and having-feared the both booty gave-back
αὐτῷ καὶ φιλίαν ὡμολόγησαν.
to-him and friendship agreed

30 Ἀποτειχιζομένης δὲ τῆς Χαλκηδόνος ἐκ θαλάττης εἰς
being-walled-off and — Chalcedon from sea to
θάλατταν, ὁ Φαρνάβαζος ἦκεν ὡς λύσων τὴν πολιορκίαν,
sea — Pharnabazus came as going-to-raise the siege
καὶ Ἱπποκράτης ὁ ἁρμοστὴς ἐκ τῆς πόλεως ἐξαγαγὼν τὴν
and Hippocrates the harmost from the city having-led-out the
σὺν αὐτῷ δύναμιν ἐπεχείρει τοῖς Ἀθηναίοις. ὁ δ' Ἀλκιβιάδης
with himself force attacked the Athenians — and Alcibiades
ἅμα πρὸς ἀμφοτέρους ἀντιτάξας τὸ στράτευμα, τὸν μὲν
at-once against both having-arrayed the army — indeed
Φαρνάβαζον αἰσχρῶς φεύγειν ἠνάγκασε, τὸν δ' Ἱπποκράτη
Pharnabazus shamefully to-flee compelled — and Hippocrates
διέφθειρε καὶ συχνοὺς τῶν περὶ αὐτὸν ἡττηθέντας.
he-killed and many of-those about him having-been-defeated
Εἶτ' αὐτὸς μὲν ἐκπλεύσας εἰς τὸν Ἑλλήσποντον ἠργυρολόγει
then himself indeed having-sailed-out to the Hellespont raised-money
καὶ Σηλυβρίαν εἷλεν, ἀφειδήσας ἑαυτοῦ παρὰ τὸν καιρόν.
and Selymbria took having-been-unsparing of-himself beyond the occasion
οἱ γὰρ ἐνδιδόντες τὴν πόλιν συνέθεντο μὲν ἀνασχήσειν
those for betraying the city had-agreed indeed to-hold-up
πυρσὸν αὐτῷ μεσούσης νυκτός, ἠναγκάσθησαν δὲ τοῦτο
a-torch for-him being-mid night they-were-compelled but this
ποιῆσαι πρὸ τοῦ καιροῦ, τῶν συνωμοτῶν τινα φοβηθέντες
to-do before the time of-the conspirators one fearing
ἐξαίφνης μεταβαλόμενον. ἀρθέντος οὖν τοῦ πυρσοῦ
Agesilaus the about Susa and Ecbatana having-undertaken
πόλεμον. ταῦτ᾽ οὖν ὁ Ἀρταξέρξης ἔχαιρε, καὶ τὸν
war these-things then — Artaxerxes rejoiced-in and —
Πελοπίδαν ἐθαύμαζε ἐπὶ τῇ δόξῃ καὶ μέγαν ἐποίει ταῖς
Pelopidas admired for the fame and great made-him with-the
τιμαῖς, ὑπὸ τῶν μεγίστων εὐδαιμονίζεσθαι καὶ θεραπεύεσθαι
honors by the greatest to-be-deemed-happy and to-be-courted
βουλόμενος δοκεῖν. ἐπεὶ δὲ καὶ τὴν ὄψιν αὐτοῦ εἶδε καὶ
wishing to-seem when and also the appearance his he-saw and
τοὺς λόγους κατενόησε, τῶν μὲν Ἀττικῶν βεβαιοτέρους,
the words he-perceived than-the indeed Attic more-trustworthy
τῶν δὲ Λακεδαιμονίων ἁπλουστέρους ὄντας, ἔτι μᾶλλον
than-the and Lacedaemonian simpler being still more
ἠγάπησε, καὶ πάθος βασιλικὸν παθὼν οὐκ ἀπεκρύψατο
he-loved-him and a-feeling kingly having-felt not he-hid

τὴν πρὸς τὸν ἄνδρα τιμήν, οὐδ' ἔλαθε τοὺς ἄλλους
the toward the man honor nor escaped-notice the other
πρέσβεις πλεῖστον νέμων ἐκείνῳ. καίτοι δοκεῖ μάλιστα
envoys most allotting to-him and-yet he-seems most
τῶν Ἑλλήνων Ἀνταλκίδαν τιμῆσαι τὸν Λακεδαιμόνιον,
of-the Greeks Antalcidas to-have-honored the Lacedaemonian
ὅτι τὸν στέφανον, ὃν πίνων περιέκειτο, βάψας εἰς
because the crown which drinking he-wore having-dipped in
μύρον ἀπέστειλε. Πελοπίδᾳ δὲ οὕτω μὲν οὐκ ἐνετρύφησε,
perfume he-sent to-Pelopidas but so indeed not he-was-wanton
δῶρα δὲ λαμπρότατα καὶ μέγιστα τῶν νομιζομένων
gifts but most-splendid and greatest of-those customary
ἐξέπεμψε καὶ τὰς ἀξιώσεις ἐπεκύρωσεν, αὐτονόμους μὲν
he-sent and the demands ratified independent indeed
εἶναι τοὺς Ἕλληνας, οἰκεῖσθαι δὲ Μεσσήνην, Θηβαίους
to-be the Greeks to-be-inhabited and Messene Thebans
δὲ πατρικοὺς φίλους νομίζεσθαι βασιλέως.
and ancestral friends to-be-considered of-the-king
Ταύτας ἔχων τὰς ἀποκρίσεις, τῶν δὲ δώρων οὐδὲν ὅ
these having the answers of-the and gifts nothing what
τι μὴ χάριτος ἦν σύμβολον καὶ φιλοφροσύνης δεξάμενος,
ever not of-favor was a-token and of-kindness having-accepted
ἀνέζευξεν· ὃ καὶ μάλιστα τοὺς ἄλλους πρέσβεις διέβαλε.
he-departed which also most the other envoys discredited
Τιμαγόραν γοῦν Ἀθηναῖοι κρίναντες ἀπέκτειναν, εἰ μὲν
Timagoras at-any-rate Athenians having-tried put-to-death if indeed
ἐπὶ τῷ πλήθει τῶν δωρεῶν, ὀρθῶς καὶ δικαίως· οὐ γὰρ
for the multitude of-the gifts rightly and justly not for
μόνον χρυσίον οὐδὲ ἀργύριον ἔλαβεν, ἀλλὰ καὶ κλίνην
only gold nor silver he-took but also a-couch
πολυτελῆ καὶ στρώτας θεράποντας, ὡς τῶν Ἑλλήνων
costly and bed-making servants as the Greeks

οὐκ ἐπισταμένων, ἔτι δὲ βοῦς ὀγδοήκοντα καὶ βουκόλους,
not knowing-how still and cows eighty and cowherds
ὡς δὴ πρὸς ἀρρωστίαν τινὰ γάλακτος βοείου δεόμενος,
as indeed for sickness some of-milk cow's needing
τέλος δὲ κατέβαινεν ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος,
finally and he-went-down to the-sea in a-litter carried
καὶ τέσσαρα τάλαντα τοῖς κομίζουσι μισθὸς ἐδόθη
and four talents to-those carrying as-pay was-given
παρὰ βασιλέως· ἀλλ' ἔοικεν οὐχ ἡ δωροδοκία μάλιστα
from the-king but it-seems not the bribe-taking most
παροξῦναι τοὺς Ἀθηναίους. Ἐπικράτους γοῦν ποτε
to-have-provoked the Athenians Epicrates at-any-rate once
τοῦ σακεσφόρου μήτε ἀρνουμένου δῶρα δέξασθαι παρὰ
the shield-bearer neither denying gifts to-have-received from
βασιλέως, ψήφισμά τε γράφειν φάσκοντος ἀντὶ τῶν ἐννέα
the-king a-decree and to-propose saying instead-of the nine
ἀρχόντων χειροτονεῖσθαι κατ' ἐνιαυτὸν ἐννέα πρέσβεις πρὸς
archons to-be-elected by year nine envoys to
βασιλέα τῶν δημοτικῶν καὶ πενήτων, ὅπως λαμβάνοντες
the-king of-the common and poor so-that receiving
εὐπορῶσιν, ἐγέλασεν ὁ δῆμος· ἀλλ' ὅτι Θηβαίοις ἐγεγόνει
they-may-be-well-off laughed the people but because for-Thebans had-happened
πάντα χαλεπῶς ἔφερον, οὐ λογιζόμενοι τὴν Πελοπίδου
all-things hard they-bore-it not reckoning the of-Pelopidas
δόξαν, ὅσων ἦν ῥητορειῶν καὶ λόγων κρειττων παρ'
fame how-many it-was of-rhetorics and speeches superior with
ἀνθρώπῳ θεραπεύοντι τοὺς τῶν ὅπλων ἀεὶ κρατοῦντας.
a-man courting those of-the arms always prevailing
Ἡ μὲν οὖν πρεσβεία τῷ Πελοπίδᾳ προσέθηκεν οὐ μικρὰν 31
the indeed then embassy — to-Pelopidas added not small
εὔνοιαν ἐπανελθόντι, διὰ τὸν Μεσσήνης συνοικισμὸν
goodwill having-returned because-of the of-Messene resettlement

καὶ τὴν τῶν ἄλλων Ἑλλήνων αὐτονομίαν· Ἀλεξάνδρου δὲ
and the of-the other Greeks independence of-Alexander and
τοῦ Φεραίου πάλιν εἰς τὴν αὑτοῦ φύσιν ἀναδραμόντος καὶ
the Pheraean again into the his-own nature having-run-back and
Θεσσαλῶν μὲν οὐκ ὀλίγας περικόπτοντος πόλεις, Φθιώτας
of-Thessalians indeed not few lopping-off cities Phthiotian
δὲ Ἀχαιοὺς ἅπαντας καὶ τὸ Μαγνήτων ἔθνος ἔμφρουρον
and Achaeans all and the of-Magnesians nation garrisoned
πεποιημένου, πυνθανόμεναι Πελοπίδαν ἐπανήκειν αἱ πόλεις
having-made learning Pelopidas to-have-returned the cities
εὐθὺς ἐπρέσβευον εἰς Θήβας αἰτούμεναι δύναμιν καὶ
at-once sent-envoys to Thebes asking a-force and
στρατηγὸν ἐκεῖνον. ψηφισαμένων δὲ τῶν Θηβαίων προθύμως,
as-general him having-voted and the Thebans eagerly
καὶ ταχὺ πάντων ἑτοίμων γενομένων καὶ τοῦ στρατηγοῦ
and quickly everything ready having-become and the general
περὶ ἔξοδον ὄντος, ὁ μὲν ἥλιος ἐξέλιπε καὶ σκότος ἐν ἡμέρᾳ
about departure being the indeed sun was-eclipsed and darkness in daytime
τὴν πόλιν ἔσχεν, ὁ δὲ Πελοπίδας ὁρῶν πρὸς τὸ φάσμα
the city held — but Pelopidas seeing at the portent
συντεταραγμένους ἅπαντας οὐκ ᾤετο δεῖν βιάζεσθαι
thrown-into-confusion all not he-thought it-needful to-force
καταφόβους καὶ δυσέλπιδας ὄντας, οὐδὲ ἀποκινδυνεύειν
terrified and despondent being nor to-risk
ἑπτακισχιλίοις πολίταις, ἀλλ' ἑαυτὸν μόνον τοῖς Θεσσαλοῖς
seven-thousand citizens but himself alone to-the Thessalians
ἐπιδοὺς καὶ τριακοσίους τῶν ἱππέων ἐθελοντὰς ἀναλαβὼν
having-given and three-hundred of-the horsemen volunteers having-taken
καὶ ξένους ἐξώρμησεν, οὔτε τῶν μάντεων ἐώντων οὔτε
and mercenaries he-set-out neither the seers allowing nor
τῶν ἄλλων συμπροθυμουμένων πολιτῶν· μέγα γὰρ ἐδόκει
the other sharing-the-zeal citizens great for it-seemed

καὶ πρὸς ἄνδρα λαμπρὸν ἐξ οὐρανοῦ γεγονέναι σημεῖον.
and against a-man illustrious from heaven to-have-been a-sign
ὁ δὲ ἦν μὲν καὶ δι᾽ ὀργὴν ὧν καθύβριστο
he and was indeed also through anger for-what he-had-been-outraged
θερμότερος ἐπὶ τὸν Ἀλέξανδρον, ἤλπιζε δὲ καὶ τὴν οἰκίαν
hotter against — Alexander he-hoped and also the house
αὐτοῦ νοσοῦσαν ἤδη καὶ διεφθαρμένην εὑρήσειν ἐξ ὧν
his diseased already and corrupted to-find from what
διείλεκτο τῇ Θήβῃ. μάλιστα δ᾽ αὐτὸν καὶ παρεκάλει
he-had-discussed — with-Thebe most and him also urged
τὸ τῆς πράξεως κάλλος, ἐπιθυμοῦντα καὶ φιλοτιμούμενον,
the of-the action nobility desiring and being-ambitious
ἐν οἷς χρόνοις Λακεδαιμόνιοι Διονυσίῳ τῷ Σικελίας
in which times Lacedaemonians for-Dionysius the of-Sicily
τυράννῳ στρατηγοὺς καὶ ἁρμοστὰς ἔπεμπον, Ἀθηναῖοι δὲ
tyrant generals and harmosts sent Athenians and
μισθοδότην Ἀλέξανδρον εἶχον καὶ χαλκοῦν ἵστασαν ὡς
paymaster Alexander had and in-bronze set-up as
εὐεργέτην, τότε τοῖς Ἕλλησιν ἐπιδεῖξαι Θηβαίους μόνους
benefactor then to-the Greeks to-show Thebans alone
ὑπὲρ τῶν τυραννουμένων στρατευομένους καὶ καταλύοντας
for the tyrannized campaigning and overthrowing
ἐν τοῖς Ἕλλησι τὰς παρανόμους καὶ βιαίους δυναστείας.
among the Greeks the lawless and violent despotisms
Ὡς οὖν εἰς Φάρσαλον ἐλθὼν ἤθροισε τὴν δύναμιν, 32
when then to Pharsalus having-come he-gathered the force
εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν Ἀλέξανδρον. ὁ δὲ Θηβαίους μὲν
at-once he-marched against — Alexander he and Thebans indeed
ὀλίγους περὶ τὸν Πελοπίδαν ὁρῶν, αὐτὸς δὲ πλείους ἔχων
few about — Pelopidas seeing himself and more having
ἢ διπλασίους ὁπλίτας τῶν Θεσσαλῶν ἀπήντα πρὸς τὸ
than double hoplites than-the Thessalians met-him at —

Θετίδειον. εἰπόντος δέ τινος τῷ Πελοπίδᾳ πολλοὺς ἔχοντα
Thetideion having-said and someone — to-Pelopidas many having
τὸν τύραννον ἐπέρχεσθαι, "Βέλτιον," ἔφη, "πλείονας γὰρ
the tyrant to-be-coming-on better he-said more for
νικήσομεν."
we-shall-conquer
Ἀνατεινόντων δὲ πρὸς τὸ μέσον κατὰ τὰς καλουμένας
stretching and toward the middle at the called
Κυνὸς κεφαλὰς λόφων περικλινῶν καὶ ὑψηλῶν, ὥρμησαν
Dog's heads of-hills sloping and high rushed
ἀμφότεροι τούτους καταλαβεῖν τοῖς πεζοῖς. τοὺς δ'
both these to-seize with-the infantry the and
ἱππεῖς ὁ Πελοπίδας πολλοὺς κἀγαθοὺς ὄντας ἐφῆκε
horsemen — Pelopidas many and-good being launched
τοῖς ἱππεῦσι τῶν πολεμίων. ὡς δὲ οὗτοι μὲν ἐκράτουν
against-the horsemen of-the enemies when and these indeed prevailed
καὶ συνεξέπεσον εἰς τὸ πεδίον τοῖς φεύγουσιν, ὁ δὲ
and dashed-out-together into the plain with-the fleeing — and
Ἀλέξανδρος ἔφθη τοὺς λόφους καταλαβών, τοῖς ὁπλίταις
Alexander anticipated the hills having-seized on-the hoplites
τῶν Θεσσαλῶν ὕστερον ἐπερχομένοις καὶ πρὸς ἰσχυρὰ καὶ
of-the Thessalians later coming-on and against strong and
μετέωρα χωρία βιαζομένοις ἐμβαλὼν ἔκτεινε τοὺς πρώτους,
lofty places forcing-their-way having-charged killed the first
οἱ δὲ ἄλλοι πληγὰς λαβόντες οὐδὲν ἔπρασσον. κατιδὼν
the and others blows having-received nothing accomplished having-perceived
οὖν ὁ Πελοπίδας τοὺς μὲν ἱππεῖς ἀνεκαλεῖτο καὶ πρὸς
then — Pelopidas the indeed horsemen recalled and against
τὸ συνεστηκὸς τῶν πολεμίων ἐλαύνειν ἐκέλευεν, αὐτὸς δὲ
the standing-firm of-the enemies to-ride ordered himself and
συνέμιξε δρόμῳ τοῖς περὶ τοὺς λόφους μαχομένοις εὐθὺς τὴν
joined at-a-run those about the hills fighting at-once the

ἀσπίδα λαβών. καὶ διὰ τῶν ὄπισθεν ὠσάμενος εἰς τοὺς
shield having-taken and through those behind having-pushed to the
πρώτους τοσαύτην ἐνεποίησε ῥώμην καὶ προθυμίαν ἅπασιν
front so-great instilled strength and zeal in-all
ὥστε καὶ τοῖς πολεμίοις ἑτέρους δοκεῖν γεγονότας καὶ σώμασι
so-that even to-the enemies others to-seem having-become both in-bodies
καὶ ψυχαῖς ἐπέρχεσθαι. καὶ δύο μὲν ἢ τρεῖς ἀπεκρούσαντο
and souls to-be-coming-on and two indeed or three they-repelled
προσβολάς, ὁρῶντες δὲ καὶ τούτους ἐπιβαίνοντας εὐρώστως
attacks seeing but also these advancing stoutly
καὶ τὴν ἵππον ἀπὸ τῆς διώξεως ἀναστρέφουσαν εἶξαν,
and the cavalry from the pursuit returning they-gave-way
ἐπὶ σκέλος ποιούμενοι τὴν ἀναχώρησιν. ὁ δὲ Πελοπίδας
by step making the withdrawal — and Pelopidas
ἀπὸ τῶν ἄκρων κατιδὼν ἅπαν τὸ στρατόπεδον τῶν
from the heights having-seen all the camp of-the
πολεμίων οὔπω μὲν εἰς φυγὴν τετραμμένον, ἤδη δὲ
enemies not-yet indeed into flight turned already but
θορύβου καὶ ταραχῆς ἀναπιμπλάμενον, ἔστη καὶ περιέβλεψεν
with-uproar and confusion being-filled stood and looked-around
αὐτὸν ζητῶν τὸν Ἀλέξανδρον. ὡς δ' εἶδεν ἐπὶ τοῦ δεξιοῦ
him seeking — Alexander when and he-saw-him on the right
παραθαρρύνοντα καὶ συντάττοντα τοὺς μισθοφόρους, οὐ
encouraging and arranging the mercenaries not
κατέσχε τῷ λογισμῷ τὴν ὀργήν, ἀλλὰ πρὸς τὴν βλέψιν
he-restrained with-the reasoning the anger but at the sight
ἀναφλεχθεὶς καὶ τῷ θυμῷ παραδοὺς τὸ σῶμα καὶ τὴν
having-been-inflamed and to-the passion having-given-up the body and the
ἡγεμονίαν τῆς πράξεως, πολὺ πρὸ τῶν ἄλλων ἐξαλόμενος
command of-the action far before the others having-leaped-out
ἐφέρετο βοῶν καὶ προκαλούμενος τὸν τύραννον. ἐκεῖνος μὲν
he-rushed shouting and challenging the tyrant he indeed

οὖν οὐκ ἐδέξατο τὴν ὁρμὴν οὐδὲ ὑπέμεινεν, ἀλλ᾽ ἀναφυγὼν
then not received the onset nor withstood but having-fled-back
πρὸς τοὺς δορυφόρους ἐνέκρυψεν ἑαυτόν. τῶν δὲ μισθοφόρων
to the bodyguards hid himself of-the and mercenaries
οἱ μὲν πρῶτοι συμβαλόντες εἰς χεῖρας ἀνεκόπησαν ὑπὸ
the indeed first having-engaged into hands were-beaten-back by
τοῦ Πελοπίδου, τινὲς δὲ καὶ πληγέντες ἐτελεύτησαν, οἱ δὲ
— Pelopidas some and also struck died the but
πολλοὶ τοῖς δόρασι πόρρωθεν διὰ τῶν ὅπλων τύπτοντες
many with-the spears from-afar through the armor striking
αὐτὸν κατετραυμάτιζον, ἕως οἱ Θεσσαλοὶ περιπαθήσαντες
him wounded-him until the Thessalians deeply-moved
ἀπὸ τῶν λόφων δρόμῳ προσεβοήθησαν, ἤδη πεπτωκότος,
from the hills at-a-run came-to-help already having-fallen
οἵ τε ἱππεῖς προσελάσαντες ὅλην ἐτρέψαντο τὴν φάλαγγα
the both horsemen having-ridden-up whole routed the phalanx
καὶ διώξαντες ἐπὶ πλεῖστον ἐνέπλησαν νεκρῶν τὴν χώραν,
and having-pursued for very-far filled with-corpses the country
πλέον ἢ τρισχιλίους καταβαλόντες.
more than three-thousand having-struck-down

IX · MOURNING AND VENGEANCE

The army grieves, shearing their horses and their own hair, and the Thessalians beg to bury him. Plutarch judges the funeral more splendid than any tyrant's and calls his death, in his thirteenth boeotarchy, the crown of a fortunate life. The Thebans make Alexander give up his cities and follow Thebes; later his wife Thebe and her brothers kill him in his bed, and the Pheraeans trample his body.

Τὸ μὲν οὖν Θηβαίων τοὺς παρόντας ἐπὶ τῇ τοῦ Πελοπίδου 33
the indeed then of-Thebans those present at the — of-Pelopidas
τελευτῇ βαρέως φέρειν, πατέρα καὶ σωτῆρα καὶ διδάσκαλον
death heavily to-bear father and savior and teacher
τῶν μεγίστων καὶ καλλίστων ἀγαθῶν ἀποκαλοῦντας ἐκεῖνον,
of-the greatest and finest goods calling him
οὐ πάνυ θαυμαστὸν ἦν· οἱ δὲ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι
not very surprising was the but Thessalians and the allies
πᾶσαν ἀνθρωπίνῃ πρέπουσαν ἀρετῇ τιμὴν τοῖς ψηφίσμασιν
every for-human befitting virtue honor with-the decrees
ὑπερβαλόντες, ἔτι μᾶλλον ἐπεδείξαντο τοῖς πάθεσι τὴν πρὸς
having-surpassed still more displayed by-the feelings the toward
τὸν ἄνδρα χάριν. τοὺς μὲν γὰρ παραγεγονότας τῷ ἔργῳ
the man gratitude those indeed for present at-the action
λέγουσι μήτε θώρακα θέσθαι μήτε ἵππον ἐκχαλινῶσαι
they-say neither breastplate to-have-put-off nor horse to-have-unbridled
μήτε τραῦμα δήσασθαι πρότερον, ὡς ἐπύθοντο τὴν ἐκείνου
nor wound to-have-bound before when they-learned the his
τελευτήν, ἀλλὰ μετὰ τῶν ὅπλων θερμοὺς ἰόντας ἐπὶ τὸν
death but with the arms hot going to the
νεκρὸν ὥσπερ αἰσθανόμενον, τὰ τῶν πολεμίων κύκλῳ περὶ
corpse as-if perceiving the of-the enemies in-a-circle about
τὸ σῶμα σωρεύειν λάφυρα, κεῖραι δὲ ἵππους, κείρασθαι
the body to-heap spoils to-have-shorn and horses to-have-shorn
δὲ καὶ αὐτούς, ἀπιόντας δὲ πολλοὺς ἐπὶ σκηνὰς μήτε πῦρ
and also themselves going-away and many to tents neither fire
ἀνάψαι μήτε δεῖπνον ἑλέσθαι, σιγὴν δὲ καὶ κατήφειαν
to-have-lit nor dinner to-have-taken silence and and dejection
εἶναι τοῦ στρατοπέδου παντός, ὥσπερ οὐ νενικηκότων
to-have-been of-the camp whole as-if not having-won
ἐπιφανεστάτην νίκην καὶ μεγίστην, ἀλλ' ἡττημένων ὑπὸ
a-most-brilliant victory and greatest but defeated by

τοῦ τυράννου καὶ καταδεδουλωμένων. ἐκ δὲ τῶν πόλεων,
the tyrant and enslaved from and the cities
ὡς ἀπηγγέλθη ταῦτα, παρῆσαν αἵ τε ἀρχαὶ καὶ μετ᾽
when were-reported these-things were-present the both magistrates and with
αὐτῶν ἔφηβοι καὶ παῖδες καὶ ἱερεῖς πρὸς τὴν ὑποδοχὴν
them youths and boys and priests for the reception
τοῦ σώματος, τρόπαια καὶ στεφάνους καὶ πανοπλίας
of-the body trophies and crowns and full-armors
χρυσᾶς ἐπιφέροντες. ὡς δὲ ἔμελλεν ἐκκομίζεσθαι τὸ σῶμα,
golden bringing when and was-about to-be-carried-out the body
προσελθόντες οἱ πρεσβύτατοι τῶν Θεσσαλῶν ᾐτοῦντο τοὺς
having-come-forward the oldest of-the Thessalians asked the
Θηβαίους δι᾽ αὑτῶν θάψαι τὸν νεκρόν. εἷς δὲ αὐτῶν
Thebans through themselves to-bury the corpse one and of-them
ἔλεγεν· “Ἄνδρες σύμμαχοι, χάριν αἰτοῦμεν παρ᾽ ὑμῶν
said men allies a-favor we-ask from you
κόσμον ἡμῖν ἐπὶ ἀτυχίᾳ τοσαύτῃ καὶ παραμυθίαν φέρουσαν.
honor to-us in misfortune so-great and consolation bringing
οὐ γὰρ ζῶντα Θεσσαλοὶ Πελοπίδαν προπέμψουσιν, οὐδὲ
not for living Thessalians Pelopidas will-escort nor
αἰσθανομένῳ τὰς ἀξίας τιμὰς ἀποδώσουσιν, ἀλλ᾽ ἐὰν
to-one-perceiving the worthy honors will-render but if
ψαῦσαί τε τοῦ νεκροῦ τύχωμεν καὶ δι᾽ αὑτῶν κοσμῆσαι
to-touch both the corpse we-obtain and through ourselves to-adorn
καὶ θάψαι τὸ σῶμα, δόξομεν ὑμῖν οὐκ ἀπιστεῖν ὅτι μείζων
and to-bury the body we-shall-seem to-you not to-disbelieve that greater
ἡ συμφορὰ γέγονε Θετταλοῖς ἢ Θηβαίοις· ὑμῖν μὲν
the misfortune has-been for-Thessalians than for-Thebans for-you indeed
γὰρ ἡγεμόνος ἀγαθοῦ μόνον, ἡμῖν δὲ καὶ τούτου καὶ τῆς
for of-a-leader good only for-us but both of-this and of-the
ἐλευθερίας στέρεσθαι συμβέβηκε. πῶς γὰρ ἔτι τολμήσομεν
freedom to-be-deprived has-befallen how for still shall-we-dare

αἰτῆσαι στρατηγὸν ἄλλον παρ᾽ ὑμῶν οὐκ ἀποδόντες
to-ask general another from you not having-given-back
Πελοπίδαν;" ταῦτα μὲν οἱ Θηβαῖοι συνεχώρησαν.
Pelopidas these-things indeed the Thebans granted
Ἐκείνων δὲ τῶν ταφῶν οὐ δοκοῦσιν ἕτεραι λαμπρότεραι 34
than-those and the funerals not seem other more-splendid
γενέσθαι τοῖς τὸ λαμπρὸν οὐκ ἐν ἐλέφαντι καὶ χρυσῷ καὶ
to-have-been to-those the splendor not in ivory and gold and
πορφύραις εἶναι νομίζουσιν, ὥσπερ Φίλιστος ὑμνῶν καὶ
purples to-be thinking as Philistus celebrating and
θαυμάζων τὴν Διονυσίου ταφήν, οἷον τραγῳδίας μεγάλης
admiring the of-Dionysius funeral like of-tragedy great
τῆς τυραννίδος ἐξόδιον θεατρικὸν γενομένην. Ἀλέξανδρος δὲ
of-the tyranny closing-scene theatrical having-been Alexander and
ὁ μέγας Ἡφαιστίωνος ἀποθανόντος οὐ μόνον ἵππους ἔκειρε
the great Hephaestion having-died not only horses sheared
καὶ ἡμιόνους, ἀλλὰ καὶ τὰς ἐπάλξεις ἀφεῖλε τῶν τειχῶν,
and mules but also the battlements took-down of-the walls
ὡς ἂν δοκοῖεν αἱ πόλεις πενθεῖν, ἀντὶ τῆς πρόσθεν
so-that — might-seem the cities to-mourn instead-of the former
μορφῆς κούριμον σχῆμα καὶ ἄτιμον ἀναλαμβάνουσαι.
form shorn appearance and dishonored taking-on
ταῦτα μὲν οὖν προστάγματα δεσποτῶν ὄντα, καὶ μετὰ
these-things indeed then commands of-despots being and with
πολλῆς ἀνάγκης περαινόμενα καὶ μετὰ φθόνου τῶν
much necessity being-carried-out and with envy of-those
τυχόντων καὶ μίσους τῶν βιαζομένων, οὐδεμιᾶς χάριτος
obtaining-them and hatred of-those forced of-no gratitude
ἦν οὐδὲ τιμῆς, ὄγκου δὲ βαρβαρικοῦ καὶ τρυφῆς καὶ
was nor of-honor of-pomp but barbarian and luxury and
ἀλαζονείας ἐπίδειξις, εἰς κενὰ καὶ ἄζηλα τὴν περιουσίαν
boastfulness display on empty-things and unenviable the abundance

διατιθεμένων· ἀνὴρ δὲ δημοτικὸς ἐπὶ ξένης τεθνηκώς, οὐ
spending a-man but of-the-people in foreign-land having-died not
γυναικός, οὐ παίδων, οὐ συγγενῶν παρόντων, οὐ δεομένου
wife not children not kinsmen being-present not asking
τινός, οὐκ ἀναγκάζοντος, ὑπὸ δήμων τοσούτων καὶ πόλεων
anyone not compelling by peoples so-many and cities
ἁμιλλωμένων προπεμπόμενος καὶ συνεκκομιζόμενος καὶ
vying being-escorted and being-carried-out-together and
στεφανούμενος, εἰκότως ἐδόκει τὸν τελειότατον ἀπέχειν
being-crowned reasonably seemed the most-complete to-attain
εὐδαιμονισμόν. οὐ γάρ, ὡς Αἴσωπος ἔφασκε, χαλεπώτατός
happiness not for as Aesop said hardest
ἐστιν ὁ τῶν εὐτυχούντων θάνατος, ἀλλὰ μακαριώτατος,
is the of-the fortunate death but most-blessed
εἰς ἀσφαλῆ χώραν τὰς εὐπραξίας κατατιθέμενος τῶν
into safe place the successes depositing of-the
ἀγαθῶν καὶ τύχην μεταβάλλεσθαι μὴ ἀπολείπων. διὸ
goods and fortune to-change not leaving wherefore
βέλτιον ὁ Λάκων τὸν Ὀλυμπιονίκην Διαγόραν, ἐπιδόντα
better the Laconian the Olympic-victor Diagoras having-lived-to-see
μὲν υἱοὺς στεφανουμένους Ὀλυμπίασιν, ἐπιδόντα δ'
indeed sons crowned at-Olympia having-lived-to-see and
υἱωνοὺς καὶ θυγατριδοῦς, ἀσπασάμενος, "Κάτθανε," εἶπε,
grandsons and daughters'-sons having-embraced die said
"Διαγόρα· οὐκ εἰς τὸν Ὄλυμπον ἀναβήσῃ." τὰς δὲ
Diagoras not to — Olympus you-will-go-up the and
Ὀλυμπιακὰς καὶ Πυθικὰς νίκας οὐκ ἄν, οἶμαί, τις εἰς τὸ
Olympic and Pythian victories not — I-think anyone into the
αὐτὸ συνθεὶς ἁπάσας ἑνὶ τῶν Πελοπίδου παραβαλεῖν
same having-put all with-one of-the of-Pelopidas to-compare
ἀγώνων ἀξιώσειεν, οὓς πολλοὺς ἀγωνισάμενος καὶ
of-contests would-deem-worthy which many having-contested and

κατορθώσας, καὶ τοῦ βίου τὸ πλεῖστον ἐν δόξῃ καὶ
having-succeeded and of-the life the most in glory and
τιμῇ βιώσας, τέλος ἐν τῇ τρισκαιδεκάτῃ βοιωταρχίᾳ,
honor having-lived finally in the thirteenth boeotarchy
τυραννοκτονίᾳ μεμιγμένην ἀριστείαν ἀριστεύων, ὑπὲρ τῆς
with-tyrannicide mingled feat-of-valor achieving for the
τῶν Θεσσαλῶν ἐλευθερίας ἀπέθανεν.
of-the Thessalians freedom he-died
Ὁ δὲ θάνατος αὐτοῦ μεγάλα μὲν ἐλύπησε τοὺς 35
the and death his greatly indeed grieved the
συμμάχους, μείζονα δὲ ὠφέλησε. Θηβαῖοι γάρ, ὡς
allies greater-things and benefited Thebans for when
ἐπύθοντο τὴν τοῦ Πελοπίδου τελευτήν, οὐδεμίαν ἀναβολὴν
they-learned the — of-Pelopidas death no postponement
ποιησάμενοι τῆς τιμωρίας κατὰ τάχος ἐστράτευσαν
having-made of-the vengeance in haste marched
ὁπλίταις ἑπτακισχιλίοις, ἱππεῦσι δ' ἑπτακοσίοις, ἡγουμένου
with-hoplites seven-thousand horsemen and seven-hundred commanding
Μαλκίτου καὶ Διογείτονος. καταλαβόντες δὲ συνεσταλμένον
Malcitas and Diogeiton having-caught and drawn-in
καὶ περικεκομμένον τῆς δυνάμεως Ἀλέξανδρον ἠνάγκασαν
and stripped of-the power Alexander they-compelled
Θεσσαλοῖς μὲν ἀποδοῦναι τὰς πόλεις ἃς εἶχεν αὐτῶν,
to-Thessalians indeed to-give-back the cities which he-held of-them
Μάγνητας δὲ καὶ Φθιώτας Ἀχαιοὺς ἀφεῖναι καὶ τὰς
Magnesians and and Phthiotian Achaeans to-free and the
φρουρὰς ἐξαγαγεῖν, ὀμόσαι δὲ αὐτὸν ἐφ' οὓς ἂν
garrisons to-withdraw to-swear and him against whomever —
ἡγῶνται Θηβαῖοι καὶ κελεύσωσιν ἀκολουθήσειν. Θηβαῖοι
lead Thebans and bid to-follow Thebans

μὲν οὖν τούτοις ἠρκέσθησαν· ἣν δὲ ὀλίγον ὕστερον τοῖς
indeed then with-these were-content which and little later to-the
θεοῖς ὑπὲρ Πελοπίδου δίκην ἔδωκε διηγήσομαι.
gods for Pelopidas penalty he-paid I-will-relate
Θήβην τὴν συνοικοῦσαν αὐτῷ πρῶτον μέν, ὡς εἴρηται,
Thebe the living-with him first indeed as has-been-said
Πελοπίδας ἐδίδαξε μὴ φοβεῖσθαι τὴν ἔξω λαμπρότητα
Pelopidas taught not to-fear the outward splendor
καὶ παρασκευὴν τῆς τυραννίδος, ἐντὸς τῶν ὅπλων καὶ τῶν
and equipment of-the tyranny within the arms and the
φυλάκων οὖσαν· ἔπειτα δὲ φοβουμένη τὴν ἀπιστίαν αὐτοῦ
guards being then and fearing the faithlessness his
καὶ μισοῦσα τὴν ὠμότητα, συνθεμένη μετὰ τῶν ἀδελφῶν,
and hating the savagery having-conspired with the brothers
τριῶν ὄντων, Τισιφόνου, Πυθολάου, Λυκόφρονος, ἐπεχείρει
three being Tisiphonus Pytholaus Lycophron attempted
τόνδε τὸν τρόπον. τὴν μὲν ἄλλην οἰκίαν τοῦ τυράννου
this the way the indeed other house of-the tyrant
κατεῖχον αἱ φυλακαὶ τῶν παρανυκτερευόντων, ὁ δὲ
held the guards of-those keeping-night-watch the and
θάλαμος, ἐν ᾧ καθεύδειν εἰώθεσαν, ὑπερῷος ἦν, καὶ
bedchamber in which to-sleep they-were-accustomed upstairs was and
πρὸ αὐτοῦ φυλακὴν εἶχε κύων δεδεμένος, πᾶσι φοβερὸς
before it guard kept a-dog chained to-all terrible
πλὴν αὐτοῖς ἐκείνοις καὶ ἑνὶ τῶν οἰκετῶν τῷ τρέφοντι.
except to-very those and to-one of-the servants the one-feeding-it
καθ' ὃν οὖν ἔμελλε καιρὸν ἐπιχειρεῖν ἡ Θήβη, τοὺς
at which then was-about time to-make-the-attempt — Thebe the
μὲν ἀδελφοὺς ἀφ' ἡμέρας εἶχε πλησίον ἐν οἴκῳ τινὶ
indeed brothers from day had near in room a-certain
κεκρυμμένους, εἰσελθοῦσα δέ, ὥσπερ εἰώθει, μόνη πρὸς
hidden having-gone-in and as she-was-accustomed alone to

τὸν Ἀλέξανδρον ἤδη καθεύδοντα καὶ μετὰ μικρὸν πάλιν
— Alexander already sleeping and after a-little again
προελθοῦσα, τῷ μὲν οἰκέτῃ προσέταξεν ἀπάγειν ἔξω τὸν
having-come-out to-the indeed servant ordered to-lead-away outside the
κύνα· βούλεσθαι γὰρ ἀναπαύεσθαι μεθ' ἡσυχίας ἐκεῖνον·
dog to-wish for to-rest in quiet him
αὐτὴ δὲ τὴν κλίμακα φοβουμένη μὴ κτύπον παράσχῃ τῶν
she-herself and the ladder fearing lest noise it-make the
νεανίσκων ἀναβαινόντων ἐρίοις κατεστόρεσεν· εἶτα οὕτως
young-men going-up with-wool covered then so
ἀναγαγοῦσα τοὺς ἀδελφοὺς ξιφήρεις καὶ στήσασα πρὸ
having-brought-up the brothers sword-in-hand and having-stationed-them before
τῶν θυρῶν εἰσῆλθεν αὐτή, καὶ καθελοῦσα τὸ ξίφος ὑπὲρ
the doors went-in herself and having-taken-down the sword over
τῆς κεφαλῆς κρεμάμενον, σημεῖον εἶναι τοῦ κατέχεσθαι
the head hanging sign to-be of-the to-be-held-fast
τὸν ἄνδρα καὶ καθεύδειν ἔδειξεν. ἐκπεπληγμένων δὲ τῶν
the man and to-sleep showed being-terrified and the
νεανίσκων καὶ κατοκνούντων, κακίζουσα καὶ διομνυμένη
young-men and shrinking reviling-them and swearing
μετ' ὀργῆς αὐτὴ τὸν Ἀλέξανδρον ἐξεγείρασα μηνύσειν
with anger she-herself — Alexander having-awakened to-reveal
τὴν πρᾶξιν, αἰσχυνθέντας αὐτοὺς ἅμα καὶ φοβηθέντας
the plot having-been-shamed them at-once and having-been-frightened
εἰσήγαγε καὶ περιέστησε τῇ κλίνῃ, προσφέρουσα τὸν
she-led-in and stationed-them-about the bed bringing-near the
λύχνον. τῶν δὲ ὁ μὲν τοὺς πόδας κατεῖχε πιέσας,
lamp of-them and the-one indeed the feet held having-pressed
ὁ δὲ τὴν κεφαλὴν λαβόμενος τῶν τριχῶν ἀνέκλασεν,
the-other and the head having-seized by-the hair bent-back
ὁ δὲ τρίτος τῷ ξίφει τύπτων αὐτὸν διεχρήσατο, τῷ
the and third with-the sword striking him killed by-the

μὲν τάχει τῆς τελευτῆς πρᾳότερον ἴσως ἢ προσῆκον
indeed speed of-the death more-mildly perhaps than fitting
ἦν ἀποθανόντα, τῷ δὲ μόνον ἢ πρῶτον τυράννων ὑπὸ
was having-died by-the and alone or first of-tyrants by
γυναικὸς ἰδίας ἀπολέσθαι, καὶ τῇ μετὰ θάνατον αἰκίᾳ τοῦ
wife his-own to-have-perished and by-the after death outrage of-the
σώματος ῥιφέντος καὶ πατηθέντος ὑπὸ τῶν Φεραίων,
body having-been-thrown and trampled by the Pheraeans
ἄξια πεπονθέναι δόξαντα τῶν παρανομημάτων.
worthy-things to-have-suffered having-seemed of-the crimes

PLUTARCH

ΤΙΜΟΛΕΩΝ

Timoleon

Plutarch writes these lives as a mirror for his own conduct. After Dion's murder Sicily is in chaos: Dionysius has returned to Syracuse as tyrant, Hicetas of Leontini seeks the tyranny with Carthaginian help, and the Syracusans appeal to Corinth, their mother city. The Corinthians vote to send aid, and when a leader is sought, a citizen names Timoleon, son of Timodemus and Demariste, a lover of his country and a hater of tyrants, whose brother Timophanes is his opposite.

Ἐμοὶ τῆς τῶν βίων ἅψασθαι μὲν γραφῆς συνέβη δι'
for-me the of-the lives to-take-up indeed writing it-happened because-of
ἑτέρους, ἐπιμένειν δὲ καὶ φιλοχωρεῖν ἤδη καὶ δι'
others to-continue but and to-delight-in-it now also because-of
ἐμαυτόν, ὥσπερ ἐν ἐσόπτρῳ τῇ ἱστορίᾳ πειρώμενον ἁμῶς
myself as-if in a-mirror in-the history trying somehow
γέ πως κοσμεῖν καὶ ἀφομοιοῦν πρὸς τὰς ἐκείνων
at-least in-some-way to-adorn and to-make-like to the their
ἀρετὰς τὸν βίον. οὐδὲν γὰρ ἀλλ' ἢ συνδιαιτήσει καὶ
virtues the life nothing for else than to-living-together and
συμβιώσει τὸ γινόμενον ἔοικεν, ὅταν ὥσπερ ἐπιξενούμενον
to-associating the happening is-like whenever as-if receiving-as-guest
ἕκαστον αὐτῶν ἐν μέρει διὰ τῆς ἱστορίας ὑποδεχόμενοι
each of-them in turn through the history receiving
καὶ παραλαμβάνοντες ἀναθεωρῶμεν "ὅσσος ἔην οἷός
and taking-up we-contemplate how-great he-was what-sort
τε," τὰ κυριώτατα καὶ κάλλιστα πρὸς γνῶσιν ἀπὸ τῶν
and the most-important and finest for knowledge from the
πράξεων λαμβάνοντες.
deeds taking

Φεῦ, φεῦ· τί τούτου χάρμα μεῖζον ἂν λάβοις,
alas alas what than-this joy greater — could-you-get

καὶ πρὸς ἐπανόρθωσιν ἠθῶν ἐνεργότερον; Δημόκριτος
and for improvement of-characters more-effective Democritus
μὲν γὰρ εὔχεσθαί φησι δεῖν ὅπως εὐλόγχων εἰδώλων
indeed for to-pray says it-is-needful that fortunate images
τυγχάνωμεν καὶ τὰ σύμφυλα καὶ τὰ χρηστὰ μᾶλλον ἡμῖν
we-may-meet and the congenial and the good rather to-us
ἐκ τοῦ περιέχοντος ἢ τὰ φαῦλα καὶ τὰ σκαιὰ συμφέρηται,
from the surrounding than the bad and the perverse may-be-brought
λόγον οὔτ' ἀληθῆ καὶ πρὸς ἀπεράντους ἐκφέροντα
an-argument neither true and to endless leading
δεισιδαιμονίας εἰς φιλοσοφίαν καταβάλλων· ἡμεῖς δὲ τῇ
superstitions into philosophy introducing we but by-the
περὶ τὴν ἱστορίαν διατριβῇ καὶ τῆς γραφῆς τῇ συνηθείᾳ
about the history occupation and of-the writing by-the habit
παρασκευάζομεν ἑαυτούς, τὰς τῶν ἀρίστων καὶ δοκιμωτάτων
prepare ourselves the of-the best and most-approved
μνήμας ὑποδεχομένους ἀεὶ ταῖς ψυχαῖς, εἴ τι φαῦλον ἢ
memories receiving always in-the souls if anything base or
κακόηθες ἢ ἀγεννὲς αἱ τῶν συνόντων ἐξ ἀνάγκης ὁμιλίαι
malicious or ignoble the of-those associating from necessity associations
προσβάλλουσιν, ἐκκρούειν καὶ διωθεῖσθαι, πρὸς τὰ κάλλιστα
inflict to-expel and to-thrust-away to the finest
τῶν παραδειγμάτων ἵλεω καὶ πραεῖαν ἀποστρέφοντες
of-the examples gracious and calm turning
τὴν διάνοιαν. ὧν ἐν τῷ παρόντι προκεχειρίσμεθά σοι
the mind of-which in the present we-have-chosen for-you
τὸν Τιμολέοντος τοῦ Κορινθίου καὶ τὸν Αἰμιλίου Παύλου
the of-Timoleon the Corinthian and the of-Aemilius Paulus
βίον, ἀνδρῶν οὐ μόνον ταῖς αἱρέσεσιν, ἀλλὰ καὶ ταῖς
life of-men not only in-the principles but also in-the
τύχαις ἀγαθαῖς ὁμοίως κεχρημένων ἐπὶ τὰ πράγματα, καὶ
fortunes good alike having-enjoyed in the affairs and

διαμφισβήτησιν παρεξόντων πότερον εὐποτμίᾳ μᾶλλον
dispute going-to-provide whether by-good-fortune rather
ἢ φρονήσει τὰ μέγιστα τῶν πεπραγμένων κατώρθωσαν.
than by-prudence the greatest of-the things-done they-succeeded
Τὰ μὲν Συρακουσίων πράγματα πρὸ τῆς Τιμολέοντος εἰς 1
the indeed of-Syracusans affairs before the of-Timoleon to
Σικελίαν ἀποστολῆς οὕτως εἶχεν. ἐπεὶ Δίων μὲν ἐξελάσας
Sicily expedition so stood when Dion indeed having-expelled
Διονύσιον τὸν τύραννον εὐθὺς ἀνῃρέθη δόλῳ καὶ
Dionysius the tyrant at-once was-killed by-treachery and
διέστησαν οἱ σὺν Δίωνι Συρακουσίους ἐλευθερώσαντες, ἡ
quarreled those with Dion Syracusans having-freed the
δὲ πόλις ἄλλον ἐξ ἄλλου μεταβάλλουσα συνεχῶς τύραννον
and city one from another exchanging continually tyrant
ὑπὸ πλήθους κακῶν μικρὸν ἀπέλειπεν ἔρημος εἶναι, τῆς δ'
by multitude of-evils little fell-short deserted to-be of-the and
ἄλλης Σικελίας ἡ μὲν ἀνάστατος καὶ ἄπολις παντάπασιν
other Sicily the indeed desolated and cityless altogether
ἤδη διὰ τοὺς πολέμους ὑπῆρχεν, αἱ δὲ πλεῖσται
already because-of the wars was the but most
πόλεις ὑπὸ βαρβάρων μιγάδων καὶ στρατιωτῶν ἀμισθὼν
cities by barbarians mixed and soldiers unpaid
κατείχοντο, ῥᾳδίως προσιεμένων τὰς μεταβολὰς τῶν
were-held easily accepting the changes of-the
δυναστειῶν, Διονύσιος ἔτει δεκάτῳ ξένους συναγαγὼν καὶ
dynasties Dionysius in-year tenth mercenaries having-gathered and
τὸν τότε κρατοῦντα τῶν Συρακουσίων Νυσαῖον ἐξελάσας,
the then ruling the Syracusans Nysaeus having-expelled
ἀνέλαβε τὰ πράγματα πάλιν καὶ καθειστήκει τύραννος ἐξ
recovered the affairs again and was-established tyrant from
ἀρχῆς, παραλόγως μὲν ὑπὸ μικρᾶς δυνάμεως τὴν μεγίστην
beginning unexpectedly indeed by small force the greatest

τῶν πώποτε τυραννίδων ἀπολέσας, παραλογώτερον δ'
of-the ever tyrannies having-lost more-unexpectedly and
αὖθις ἐκ φυγάδος καὶ ταπεινοῦ τῶν ἐκβαλόντων κύριος
again from exile and humble of-those having-expelled master
γενόμενος. οἱ μὲν οὖν ὑπομείναντες ἐν τῇ πόλει τῶν
having-become the indeed then remaining in the city of-the
Συρακουσίων ἐδούλευον οὔτ' ἄλλως ἐπιεικεῖ τυράννῳ καὶ
Syracusans were-enslaved-to not otherwise reasonable a-tyrant and
τότε παντάπασιν ὑπὸ συμφορῶν ἀπηγριωμένῳ τὴν ψυχήν,
then altogether by misfortunes made-savage the soul
οἱ δὲ βέλτιστοι καὶ γνωριμώτατοι πρὸς Ἱκέτην τραπέντες
the and best and most-notable to Hicetas having-turned
τὸν δυναστεύοντα τῶν Λεοντίνων ἐπέτρεψαν αὑτοὺς ἐκείνῳ
the one-ruling the Leontines entrusted themselves to-him
καὶ στρατηγὸν εἵλοντο τοῦ πολέμου, βελτίω μὲν οὐδενὸς
and general chose of-the war better indeed than-none
ὄντα τῶν ὁμολογουμένως τυράννων, ἑτέραν δ' οὐκ ἔχοντες
being of-the admittedly tyrants another but not having
ἀποστροφήν, καὶ πιστεύσαντες Συρακουσίῳ τὸ γένος ὄντι
resort and trusting a-Syracusan the by-family being
καὶ κεκτημένῳ δύναμιν ἀξιόμαχον πρὸς τὸν τύραννον.
and possessing force a-match against the tyrant

2 Ἐν τούτῳ δὲ Καρχηδονίων στόλῳ μεγάλῳ παραγενομένων
in this and Carthaginians with-a-fleet great having-arrived
εἰς Σικελίαν καὶ τοῖς πράγμασιν ἐπαιωρουμένων φοβηθέντες
at Sicily and over-the affairs hovering having-feared
οἱ Σικελιῶται πρεσβείαν ἐβούλοντο πέμπειν εἰς τὴν
the Sicilian-Greeks an-embassy wished to-send to —
Ἑλλάδα καὶ παρὰ Κορινθίων βοήθειαν αἰτεῖν, οὐ μόνον
Greece and from Corinthians help to-ask not only
διὰ τὴν συγγένειαν οὐδ' ἀφ' ὧν ἤδη πολλάκις
because-of the kinship nor from what already often

εὐεργέτηντο πιστεύοντες ἐκείνοις, ἀλλὰ καὶ καθόλου
they-had-been-benefited trusting them but also in-general
τὴν πόλιν ὁρῶντες φιλελεύθερον καὶ μισοτύραννον οὖσαν
the city seeing freedom-loving and tyrant-hating being
ἀεί, καὶ τῶν πολέμων τοὺς πλείστους καὶ μεγίστους
always and of-the wars the most and greatest
πεπολεμηκυῖαν οὐχ ὑπὲρ ἡγεμονίας καὶ πλεονεξίας, ἀλλ'
having-fought not for leadership and gain but
ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας. ὁ δ' Ἱκέτης,
for the of-the Greeks freedom — and Hicetas
ἅτε δὴ τῆς στρατηγίας ὑπόθεσιν τὴν τυραννίδα
inasmuch-as indeed of-the generalship aim the tyranny
πεποιημένος, οὐ τὴν Συρακουσίων ἐλευθερίαν, κρύφα μὲν
having-made not the of-Syracusans freedom secretly indeed
ἤδη πρὸς τοὺς Καρχηδονίους διείλεκτο, φανερῶς δὲ τοὺς
already with the Carthaginians had-negotiated openly but the
Συρακουσίους ἐπῄνει καὶ τοὺς πρέσβεις εἰς Πελοπόννησον
Syracusans praised and the envoys to Peloponnesus
συνεξέπεμψεν, οὐ βουλόμενος ἐλθεῖν συμμαχίαν ἐκεῖθεν,
sent-along not wishing to-come alliance from-there
ἀλλ' ἐάν, ὅπερ εἰκὸς ἦν, οἱ Κορίνθιοι διὰ τὰς
but if as likely was the Corinthians because-of the
Ἑλληνικὰς ταραχὰς καὶ ἀσχολίας ἀπείπωσι τὴν βοήθειαν,
Greek troubles and occupations refuse the help
ἐλπίζων ῥᾷον ἐπὶ τοὺς Καρχηδονίους τὰ πράγματα
hoping more-easily to the Carthaginians the affairs
μετάξειν καὶ χρήσεσθαι συμμάχοις καὶ συναγωνισταῖς
to-transfer and to-use as-allies and fellow-combatants
ἐκείνοις ἐπὶ τοὺς Συρακουσίους ἢ κατὰ τοῦ τυράννου.
them against the Syracusans or against the tyrant
ταῦτα μὲν οὖν ὀλίγον ὕστερον ἐξηλέγχθη.
these-things indeed then little later were-exposed

3 Τῶν δὲ πρέσβεων παραγενομένων, οἱ Κορίνθιοι, κήδεσθαι
the and envoys having-arrived the Corinthians to-care
μὲν ἀεὶ τῶν ἀποικίδων πόλεων καὶ μάλιστα τῆς
indeed always for-the colonial cities and most for-the
Συρακουσίων εἰωθότες, οὐδενὸς δ' αὐτοὺς τότε τῶν
of-Syracusans being-accustomed nothing and them then of-the
Ἑλληνικῶν κατὰ τύχην παρενοχλοῦντος, ἀλλ' ἐν εἰρήνῃ
Greek-affairs by chance troubling but in peace
καὶ σχολῇ διάγοντες, ἐψηφίσαντο προθύμως βοηθεῖν.
and leisure living voted eagerly to-help
ζητουμένου δὲ στρατηγοῦ καὶ τῶν ἀρχόντων γραφόντων
being-sought and a-general and the magistrates writing-down
καὶ προβαλλομένων τοὺς εὐδοκιμεῖν ἐν τῇ πόλει
and proposing those to-be-reputable in the city
σπουδάζοντας, εἷς ἐκ τῶν πολλῶν ἀναστὰς ὠνόμασε
striving one of the many having-stood-up named
Τιμολέοντα τὸν Τιμοδήμου, μήτε προσιόντα τοῖς κοινοῖς
Timoleon — son-of-Timodemus neither engaging-in the public-affairs
ἔτι μήτ' ἐλπίδος τοιαύτης γενόμενον ἢ προαιρέσεως,
any-longer nor of-hope such having-been or purpose
ἀλλὰ θεοῦ τινος, ὡς ἔοικεν, εἰς νοῦν ἐμβαλόντος τῷ
but a-god some as it-seems into mind having-put to-the
ἀνθρώπῳ· τοσαύτη καὶ περὶ τὴν αἵρεσιν εὐθὺς ἔλαμψε
man so-great also about the election at-once shone
τύχης εὐμένεια καὶ ταῖς ἄλλαις πράξεσιν ἐπηκολούθησε
of-fortune goodwill and the other actions attended
χάρις ἐπικοσμοῦσα τὴν ἀρετὴν τοῦ ἀνδρός.
grace adorning the virtue of-the man
Ἦν μὲν οὖν γονέων ἐπιφανῶν ἐν τῇ πόλει, Τιμοδήμου
he-was indeed then of-parents illustrious in the city Timodemus
καὶ Δημαρίστης, φιλόπατρις δὲ καὶ πρᾷος διαφερόντως
and Demariste patriotic and and gentle exceptionally

ὅσα μὴ σφόδρα μισοτύραννος εἶναι καὶ μισοπόνηρος. ἐν
as-far-as not vehemently tyrant-hating to-be and wickedness-hating in
δὲ τοῖς πολέμοις οὕτω καλῶς καὶ ὁμαλῶς ἐκέκρατο τὴν
and the wars so finely and evenly was-blended the
φύσιν ὥστε πολλὴν μὲν ἐν νέῳ σύνεσιν, οὐκ ἐλάττω δὲ
nature so-that much indeed in youth intelligence not less and
γηρῶντος ἀνδρείαν ἐπιφαίνεσθαι ταῖς πράξεσιν. ἀδελφὸν
of-an-old-man courage to-appear in-the deeds a-brother
δ' εἶχε Τιμοφάνην, πρεσβύτερον, οὐδὲν αὐτῷ προσόμοιον,
and he-had Timophanes older nothing to-him like
ἀλλ' ἔμπληκτον καὶ διεφθαρμένον ἔρωτι μοναρχίας ὑπὸ
but frantic and corrupted by-love of-monarchy by
φίλων φαύλων καὶ ξένων στρατιωτικῶν ἀεὶ περὶ αὐτὸν
friends worthless and mercenaries soldierly always about him
ὄντων, ἔχειν τι δοκοῦντα ῥαγδαῖον ἐν ταῖς στρατείαις
being to-have something seeming impetuous in the campaigns
καὶ φιλοκίνδυνον. ᾧ καὶ τοὺς πολίτας προσαγόμενος ὡς
and danger-loving by-which also the citizens winning-over as
ἀνὴρ πολεμικὸς καὶ δραστήριος ἐφ' ἡγεμονιῶν ἐτάττετο. καὶ
a-man warlike and energetic to commands was-appointed and
πρὸς ταῦτα Τιμολέων αὐτῷ συνήργει, τὰ μὲν ἁμαρτήματα
toward these-things Timoleon him helped the indeed faults
παντάπασιν ἀποκρύπτων ἢ μικρὰ φαίνεσθαι ποιῶν, ἃ
altogether concealing or small to-appear making what
δ' ἡ φύσις ἐξέφερεν ἀστεῖα κατακοσμῶν καὶ συναύξων.
and the nature produced fine adorning and magnifying

Timoleon saves his fallen brother Timophanes in battle against the Argives and Cleonaeans by shielding him. When Timophanes makes himself tyrant of Corinth, Timoleon pleads with him and then, with Aeschylus and a seer, lets him be killed, standing aside in tears. The best citizens praise the deed, but others revile him and his mother curses him, and he withdraws for nearly twenty years; Plutarch reflects that a deed needs a steady conviction behind it. Chosen for Sicily, he is told by Telecleides that victory will make him a tyrannicide, defeat a fratricide, and Hicetas' letters reveal his treachery.

4 Ἐν δὲ τῇ πρὸς Ἀργείους καὶ Κλεωναίους μάχῃ τῶν
in and the against Argives and Cleonaeans battle of-the
Κορινθίων ὁ μὲν Τιμολέων ἔτυχεν ἐν τοῖς ὁπλίταις
Corinthians — indeed Timoleon happened in the hoplites
τεταγμένος, τὸν δὲ Τιμοφάνην τῶν ἱππέων ἡγούμενον
posted — and Timophanes the horsemen commanding
καταλαμβάνει κίνδυνος ὀξύς. ὁ γὰρ ἵππος αὐτὸν ἀπεσείσατο
overtakes danger sharp the for horse him threw
πληγῇ περιπεσὼν εἰς τοὺς πολεμίους, καὶ τῶν ἑταίρων οἱ
from-a-wound having-fallen into the enemies and of-the companions the
μὲν εὐθὺς ἐσκορπίσθησαν φοβηθέντες, οἱ δὲ παραμείναντες
indeed at-once scattered having-feared the and remaining
ὀλίγοι πρὸς πολλοὺς μαχόμενοι χαλεπῶς ἀντεῖχον. ὡς οὖν
few against many fighting hardly held-out when then
ὁ Τιμολέων κατεῖδε τὸ συμβεβηκός, δρόμῳ προσβοηθήσας
— Timoleon saw the happening at-a-run having-come-to-help
καὶ τὴν ἀσπίδα τοῦ Τιμοφάνους κειμένου προθέμενος, καὶ
and the shield — over-Timophanes lying having-put-before and
πολλὰ μὲν ἀκοντίσματα, πολλὰς δὲ πληγὰς ἐκ χειρὸς
many indeed javelins many and blows from hand

ἀναδεξάμενος εἰς τὸ σῶμα καὶ τὰ ὅπλα, μόλις ἐώσατο
having-received on the body and the arms hardly he-pushed-back
τοὺς πολεμίους καὶ διέσωσε τὸν ἀδελφόν.
the enemies and saved the brother
Ἐπεὶ δ' οἱ Κορίνθιοι δεδιότες μὴ πάθοιεν οἷα καὶ
when and the Corinthians fearing lest they-suffer such-things-as also
πρότερον ὑπὸ τῶν συμμάχων ἀποβαλόντες τὴν πόλιν,
before from the allies having-lost the city
ἐψηφίσαντο τρέφειν ξένους τετρακοσίους καὶ τούτων
voted to-maintain mercenaries four-hundred and of-these
ἄρχοντα Τιμοφάνην κατέστησαν, ὁ δὲ τῶν καλῶν καὶ
commander Timophanes appointed he and the noble and
δικαίων ὑπεριδὼν εὐθὺς ἐπέραινεν ἐξ ὧν ποιήσεται
just having-disregarded at-once pursued from which he-will-make
τὴν πόλιν ὑφ' αὑτῷ, καὶ συχνοὺς ἀνελὼν ἀκρίτους τῶν
the city under him and many having-killed untried of-the
πρώτων πολιτῶν ἀνέδειξεν αὐτὸς ἑαυτὸν τύραννον, βαρέως
first citizens declared himself himself tyrant heavily
φέρων ὁ Τιμολέων, καὶ συμφορὰν ποιούμενος ἑαυτοῦ
bearing-it — Timoleon and a-misfortune making his-own
τὴν ἐκείνου κακίαν, ἐπεχείρησε μὲν αὐτῷ διαλέγεσθαι
the his wickedness attempted indeed with-him to-reason
καὶ παρακαλεῖν ἀφέντα τὴν μανίαν καὶ δυστυχίαν
and to-urge having-given-up the madness and misfortune
τῆς ἐπιθυμίας ἐκείνης ζητεῖν τινα τῶν ἡμαρτημένων
of-the desire that to-seek some of-the wrongs-done
ἐπανόρθωσιν πρὸς τοὺς πολίτας, ἀπωσαμένου δ' ἐκείνου
amends toward the citizens having-rejected and he
καὶ καταφρονήσαντος, οὕτω παραλαβὼν τῶν μὲν οἰκείων
and having-despised so having-taken of-the indeed kinsmen
Αἰσχύλον, ἀδελφὸν ὄντα τῆς Τιμοφάνους γυναικός, τῶν δὲ
Aeschylus brother being of-the of-Timophanes wife of-the and

φίλων τὸν μάντιν ὃν Σάτυρον μὲν Θεόπομπος, Ἔφορος
friends the seer whom Satyrus indeed Theopompus Ephorus
δὲ καὶ Τίμαιος Ὀρθαγόραν ὀνομάζουσι, καὶ διαλιπὼν ἡμέρας
and and Timaeus Orthagoras name and having-let-pass days
ὀλίγας αὖθις ἀνέβη πρὸς τὸν ἀδελφόν· καὶ περιστάντες
few again went-up to the brother and having-stood-around
αὐτὸν οἱ τρεῖς καθικέτευον ἀλλὰ νῦν γε χρησάμενον
him the three begged but now at-least having-used
λογισμῷ μεταβαλέσθαι. τοῦ δὲ Τιμοφάνους πρῶτον μὲν
reason to-change — and Timophanes first indeed
αὐτῶν καταγελῶντος, ἔπειτα δὲ πρὸς ὀργὴν ἐκφερομένου
them laughing-at then and to anger being-carried-away
καὶ χαλεπαίνοντος, ὁ μὲν Τιμολέων ἀποχωρήσας μικρὸν
and growing-angry — indeed Timoleon having-withdrawn a-little
αὐτοῦ καὶ συγκαλυψάμενος εἱστήκει δακρύων, ἐκεῖνοι δὲ
from-him and having-veiled-himself stood weeping they and
τὰ ξίφη σπασάμενοι ταχὺ διαφθείρουσιν αὐτόν.
the swords having-drawn quickly kill him
5 Τῆς δὲ πράξεως διαβοηθείσης οἱ μὲν κράτιστοι τῶν
the and deed having-been-noised-abroad the indeed best of-the
Κορινθίων ἐπῄνουν τὴν μισοπονηρίαν καὶ μεγαλοψυχίαν τοῦ
Corinthians praised the hatred-of-wickedness and magnanimity —
Τιμολέοντος, ὅτι χρηστὸς ὢν καὶ φιλοίκειος ὅμως τὴν
of-Timoleon that good being and loving-his-family nevertheless the
πατρίδα τῆς οἰκίας καὶ τὸ καλὸν καὶ δίκαιον προετίμησε
fatherland than-the household and the noble and just preferred
τοῦ συμφέροντος, ἀριστεύοντα μὲν ὑπὲρ τῆς πατρίδος
to-the advantage excelling indeed on-behalf-of the fatherland
διασώσας τὸν ἀδελφόν, ἐπιβουλεύσαντα δὲ αὐτῇ καὶ
having-saved the brother having-plotted but against-her and
καταδουλωσάμενον ἀποκτείνας. οἱ δὲ μὴ δυνάμενοι ζῆν
having-enslaved having-killed the but not being-able to-live

ἐν τῇ δημοκρατίᾳ καὶ πρὸς τοὺς δυνάστας ἀποβλέπειν
in the democracy and to the despots to-look
εἰωθότες τῷ μὲν θανάτῳ τοῦ τυράννου προσεποιοῦντο
being-accustomed at-the indeed death of-the tyrant pretended
χαίρειν, τὸν δὲ Τιμολέοντα λοιδοροῦντες ὡς ἀσεβὲς
to-rejoice — but Timoleon reviling as an-impious
ἐξειργασμένον καὶ μυσῶδες ἔργον εἰς ἀθυμίαν περιέστησαν.
having-wrought and abominable deed into dejection brought
ἐπεὶ δὲ καὶ τὴν μητέρα δυσφορεῖν πυθόμενος καὶ φωνάς τε
when and also the mother to-be-grieved having-learned and utterances both
δεινὰς καὶ κατάρας ἐπ᾽ αὐτὸν ἀρᾶσθαι φρικώδεις ἐβάδιζε
terrible and curses upon him to-utter dreadful he-went
παραμυθησόμενος, ἡ δὲ προσιδεῖν οὐχ ὑπέμεινε τὴν ὄψιν,
going-to-console she but to-look-at not endured the sight
ἀλλὰ τὴν οἰκίαν ἀπέκλεισε, τότε δὴ παντάπασι περίλυπος
but the house shut then indeed altogether very-grieved
γενόμενος καὶ συνταραχθεὶς τὴν διάνοιαν ὥρμησε μὲν
having-become and confounded the mind he-set-out indeed
ὡς διαφθερῶν ἑαυτὸν ἀπέχεσθαι τροφῆς, τῶν δὲ φίλων
as going-to-destroy himself to-abstain from-food of-the but friends
οὐ περιϊδόντων, ἀλλὰ πᾶσαν δέησιν καὶ πᾶσαν ἀνάγκην
not having-overlooked but every entreaty and every compulsion
προσενεγκαμένων ἔγνω ζῆν καθ᾽ ἑαυτόν, ἐκ μέσου
having-applied he-resolved to-live by himself out-of the-way
γενόμενος· καὶ πολιτείαν μὲν ἅπασαν ἀφῆκε, τοὺς δὲ
having-become and public-life indeed all he-gave-up the and
πρώτους χρόνους οὐδὲ κατιὼν εἰς πόλιν, ἀλλ᾽ ἀδημονῶν
first times not-even going-down into city but distressed
καὶ πλανώμενος ἐν τοῖς ἐρημοτάτοις τῶν ἀγρῶν διέτριβεν.
and wandering in the loneliest of-the fields he-spent-his-time

6 Οὕτως αἱ κρίσεις, ἂν μὴ βεβαιότητα καὶ ῥώμην ἐκ λόγου
so the judgments if not firmness and strength from reason
καὶ φιλοσοφίας προσλάβωσιν ἐπὶ τὰς πράξεις, σείονται
and philosophy they-gain-in-addition for the actions are-shaken
καὶ παραφέρονται ῥᾳδίως ὑπὸ τῶν τυχόντων ἐπαίνων καὶ
and carried-off easily by the chance praises and
ψόγων, ἐκκρουόμεναι τῶν οἰκείων λογισμῶν. δεῖ γὰρ οὐ
blames being-driven-from the own reasonings it-is-needful for not
μόνον, ὡς ἔοικε, τὴν πρᾶξιν καλὴν εἶναι καὶ δικαίαν, ἀλλὰ
only as it-seems the action noble to-be and just but
καὶ τὴν δόξαν, ἀφ' ἧς πράττεται, μόνιμον καὶ ἀμετάπτωτον,
also the conviction from which it-is-done steady and unchanging
ἵνα πράττωμεν δοκιμάσαντες, μηδ' ὥσπερ οἱ λίχνοι τὰ
so-that we-may-act having-approved nor as the gluttons the
πλήσμια τῶν ἐδεσμάτων ὀξυτάτῃ διώκοντες ἐπιθυμίᾳ τάχιστα
cloying of-the foods with-keenest pursuing desire very-quickly
δυσχεραίνουσιν ἐμπλησθέντες, οὕτως ἡμεῖς ἐπὶ ταῖς πράξεσι
are-disgusted having-been-filled so we at the actions
συντελεσθείσαις ἀθυμῶμεν δι' ἀσθένειαν ἀπομαραινομένης
completed may-be-dejected through weakness withering
τῆς τοῦ καλοῦ φαντασίας. αἰσχρὸν γὰρ ἡ μετάνοια ποιεῖ
the of-the noble image shameful for the repentance makes
καὶ τὸ καλῶς πεπραγμένον, ἡ δ' ἐξ ἐπιστήμης ὡρμημένη
even the nobly done the but from knowledge proceeding
καὶ λογισμοῦ προαίρεσις οὐδ' ἂν πταίσωσιν αἱ πράξεις
and reasoning choice not-even if fail the actions
μεταβάλλεται. διὸ Φωκίων μὲν ὁ Ἀθηναῖος τοῖς ὑπὸ
is-changed wherefore Phocion indeed the Athenian to-the by
Λεωσθένους πραττομένοις ἐναντιωθείς, ἐπειδὴ κατορθοῦν
Leosthenes things-done having-opposed when to-succeed
ἐκεῖνος ἐδόκει καὶ θύοντας ἑώρα καὶ μεγαλαυχουμένους τῇ
he seemed and sacrificing he-saw and boasting at-the

νίκῃ τοὺς Ἀθηναίους, εἶπεν ὡς ἐβούλετο ἂν αὑτῷ ταῦτα
victory the Athenians said that he-would-wish — for-himself these-things
μὲν πραχθῆναι, βεβουλεῦσθαι δ' ἐκεῖνα· σφοδρότερον δ'
indeed to-have-been-done to-have-been-counseled but those more-vehemently and
Ἀριστείδης ὁ Λοκρός, εἷς ὢν τῶν Πλάτωνος ἑταίρων,
Aristides the Locrian one being of-the of-Plato companions
αἰτοῦντος μὲν αὐτὸν γυναῖκα Διονυσίου τοῦ πρεσβυτέρου
asking indeed him as-wife Dionysius the elder
μίαν τῶν θυγατέρων, ἥδιον ἂν ἔφη νεκρὰν ἰδεῖν τὴν
one of-the daughters more-gladly — he-said dead to-see the
κόρην ἢ τυράννῳ συνοικοῦσαν, ἀποκτείναντος δὲ τοὺς
girl than with-a-tyrant living having-killed and the
παῖδας αὐτοῦ μετ' ὀλίγον χρόνον τοῦ Διονυσίου καὶ
children his after little time — Dionysius and
πυθομένου πρὸς ὕβριν εἰ τὴν αὐτὴν ἔτι γνώμην ἔχοι
having-asked in insolence whether the same still opinion he-held
περὶ τῆς ἐκδόσεως τῶν θυγατέρων, ἀπεκρίνατο τοῖς μὲν
about the giving-in-marriage of-the daughters he-answered at-the indeed
γεγενημένοις λυπεῖσθαι, τοῖς δ' εἰρημένοις μὴ μεταμέλεσθαι.
happened to-grieve at-the but said not to-repent
ταῦτα μὲν οὖν ἴσως μείζονος καὶ τελειοτέρας ἀρετῆς ἐστι.
these-things indeed then perhaps of-greater and more-perfect virtue is
Τὸ δὲ Τιμολέοντος ἐπὶ τοῖς πεπραγμένοις πάθος, εἴτ' οἶκτος 7
the and of-Timoleon at the things-done feeling whether pity
ἦν τοῦ τεθνηκότος εἴτε τῆς μητρὸς αἰδώς, οὕτω κατέκλασε
was for-the dead or of-the mother shame so broke
καὶ συνέτριψεν αὐτοῦ τὴν διάνοιαν ὥστ' εἴκοσι σχεδὸν ἐτῶν
and shattered his the mind so-that twenty almost years
διαγενομένων μηδὲ μιᾶς ἐπιφανοῦς μηδὲ πολιτικῆς ἅψασθαι
having-passed not-even one conspicuous nor political to-have-touched
πράξεως. ἀναγορευθέντος οὖν αὐτοῦ, καὶ τοῦ δήμου προθύμως
action having-been-proclaimed then him and the people eagerly

δεξαμένου καὶ χειροτονήσαντος, ἀναστὰς Τηλεκλείδης ὁ
having-received and having-elected having-stood-up Telecleides the
τότε καὶ δυνάμει καὶ δόξῃ πρωτεύων ἐν τῇ πόλει,
then both in-power and in-reputation first in the city
παρεκάλει τὸν Τιμολέοντα περὶ τὰς πράξεις ἀγαθὸν ἄνδρα
urged — Timoleon about the actions good man
εἶναι καὶ γενναῖον. "Ἂν μὲν γάρ," ἔφη, "καλῶς ἀγωνίσῃ,
to-be and noble if indeed for he-said well you-contend
τύραννον ἀνῃρηκέναι δόξομεν, ἂν δὲ φαύλως, ἀδελφόν."
a-tyrant to-have-killed we-shall-seem if but badly a-brother
Παρασκευαζομένου δὲ τοῦ Τιμολέοντος τὸν ἔκπλουν καὶ
preparing and — Timoleon the voyage and
στρατιώτας συνάγοντος, ἐκομίσθη γράμματα πρὸς τοὺς
soldiers gathering were-brought letters to the
Κορινθίους παρ' Ἱκέτου μηνύοντα τὴν μεταβολὴν αὐτοῦ
Corinthians from Hicetas revealing the change his
καὶ προδοσίαν. ὡς γὰρ τάχιστα τοὺς πρέσβεις ἐξέπεμψε,
and treachery for as quickly-as the envoys he-sent-off
τοῖς Καρχηδονίοις προσθέμενος ἀναφανδὸν ἔπραττε μετ'
to-the Carthaginians having-joined openly he-acted with
ἐκείνων ὅπως Διονύσιον ἐκβαλὼν Συρακουσῶν αὐτὸς
them so-that Dionysius having-expelled from-Syracuse he-himself
ἔσται τύραννος. καὶ δεδοικὼς μὴ πρότερον ἐλθούσης ἐκ
will-be tyrant and fearing lest first having-come from
Κορίνθου δυνάμεως καὶ στρατηγοῦ διαφύγωσιν αἱ πράξεις
Corinth a-force and a-general escape the affairs
αὐτόν, ἔπεμψεν ἐπιστολὴν τοῖς Κορινθίοις φράζουσαν ὡς
him he-sent a-letter to-the Corinthians saying that
οὐδὲν δέον πράγματα καὶ δαπάνας ἔχειν αὐτοὺς πλέοντας
no need trouble and expenses to-have them sailing
εἰς Σικελίαν καὶ κινδυνεύοντας, ἄλλως τε καὶ Καρχηδονίων
to Sicily and running-risks especially — also Carthaginians

ἀπαγορευόντων καὶ παραφυλαττομένων ναυσὶ πολλαῖς τὸν
forbidding and watching-for with-ships many the
στόλον, οὓς αὐτὸς ἀναγκασθεὶς ἐκείνων βραδυνόντων
fleet whom he-himself having-been-compelled them delaying
ποιήσαιτο συμμάχους ἐπὶ τὸν τύραννον. τούτων δὲ τῶν
had-made allies against the tyrant these and the
γραμμάτων ἀναγνωσθέντων, εἰ καί τις ἠπίως εἶχε
letters having-been-read if even any gently was-disposed
πρότερον τῶν Κορινθίων πρὸς τὴν στρατείαν, τότε πάντας
before of-the Corinthians toward the expedition then all
ἡ πρὸς τὸν Ἱκέτην ὀργὴ παρώξυνεν, ὥστε συγχορηγῆσαι
the against — Hicetas anger provoked so-that to-help-furnish
προθύμως τῷ Τιμολέοντι καὶ συμπαρασκευάσαι τὸν ἔκπλουν.
eagerly — to-Timoleon and to-help-prepare the voyage

III · THE VOYAGE TO SICILY

estates the pleasantest and most-beautiful in which also the most
τοῦ χρόνου κατεσχόλαζε, μεταπεμψάμενος οἴκοθεν τὴν
of-the time he-spent-at-leisure having-sent-for from-home the
γυναῖκα καὶ τοὺς παῖδας. οὐ γὰρ ἐπανῆλθεν εἰς Κόρινθον,
wife and the children not for he-returned to Corinth
οὐδὲ κατέμιξε τοῖς Ἑλληνικοῖς θορύβοις ἑαυτὸν οὐδὲ τῷ
nor mixed in-the Greek tumults himself nor to-the
πολιτικῷ φθόνῳ παρέδωκεν, εἰς ὃν οἱ πλεῖστοι τῶν
political envy delivered on which the most of-the
στρατηγῶν ἀπληστίᾳ τιμῶν καὶ δυνάμεως ἐξοκέλλουσιν,
generals from-insatiability of-honors and of-power run-aground
ἀλλ' ἐκεῖ κατέμεινε τοῖς ὑφ' ἑαυτοῦ μεμηχανημένοις ἀγαθοῖς
but there he-remained the by himself contrived goods

χρώμενος· ὧν μέγιστον ἦν τὸ πόλεις τοσαύτας καὶ
enjoying of-which greatest was the cities so-many and
μυριάδας ἀνθρώπων δι᾽ ἑαυτὸν ἐφορᾶν εὐδαιμονούσας.
myriads of-men through himself to-look-on prospering
Ἐπεὶ δὲ χρῆν, ὡς ἔοικεν, οὐ μόνον πᾶσι κορυδαλλοῖς 37
since and it-was-necessary as it-seems not only on-all larks
λόφον ἐγγίγνεσθαι, κατὰ Σιμωνίδην, ἀλλὰ καὶ πάσῃ
a-crest to-grow according-to Simonides but also in-every
δημοκρατίᾳ συκοφάντην, ἐπεχείρησαν καὶ Τιμολέοντι
democracy a-sycophant attacked also Timoleon
δύο τῶν δημαγωγῶν, Λαφύστιος καὶ Δημαίνετος. ὧν
two of-the demagogues Laphystius and Demaenetus of-whom
Λαφυστίου μὲν αὐτὸν πρός τινα δίκην κατεγγυῶντος οὐκ
Laphystius indeed him to some lawsuit demanding-bail not
εἴα θορυβεῖν οὐδὲ κωλύειν τοὺς πολίτας· ἑκὼν γὰρ
he-allowed to-make-uproar nor to-hinder the citizens willingly for
αὐτὸς ὑπομεῖναι τοσούτους πόνους καὶ κινδύνους ὑπὲρ
himself to-have-undergone so-many toils and dangers for
τοῦ τοῖς νόμοις χρῆσθαι τὸν βουλόμενον Συρακουσίων·
the with-the laws to-use the wishing of-Syracusans
τοῦ δὲ Δημαινέτου πολλὰ κατηγορήσαντος ἐν ἐκκλησίᾳ
— and Demaenetus many-things having-accused in assembly
τῆς στρατηγίας, πρὸς ἐκεῖνον μὲν οὐδὲν ἀντεῖπε, τοῖς
of-the generalship to him indeed nothing he-replied to-the
δὲ θεοῖς ἔφη χάριν ὀφείλειν, οἷς εὔξατο Συρακουσίους
but gods he-said thanks to-owe to-whom he-prayed Syracusans
ἐπιδεῖν τῆς παρρησίας κυρίους γενομένους.
to-see of-the free-speech masters having-become
Μέγιστα δ᾽ οὖν καὶ κάλλιστα τῶν καθ᾽ αὑτὸν Ἑλλήνων
greatest and then and finest of-the in his-own-time Greeks
ὁμολογουμένως διαπραξάμενος ἔργα, καὶ μόνος, ἐφ᾽ ἃς
admittedly having-accomplished works and alone in which

οἱ σοφισταὶ διὰ τῶν λόγων τῶν πανηγυρικῶν ἀεὶ
the sophists through the speeches the festival always
παρεκάλουν πράξεις τοὺς Ἕλληνας, ἐν ταύταις ἀριστεύσας,
were-urging deeds the Greeks in these having-excelled
καὶ τῶν μὲν αὐτόθι κακῶν, ἃ τὴν ἀρχαίαν Ἑλλάδα
and from-the indeed there evils which the ancient Greece
κατέσχεν, ὑπὸ τῆς τύχης προεκκομισθεὶς ἀναίμακτος καὶ
held by the fortune having-been-carried-out-first bloodless and
καθαρός, ἐπιδειξάμενος δὲ δεινότητα μὲν καὶ ἀνδρείαν τοῖς
pure having-displayed and terribleness indeed and courage to-the
βαρβάροις καὶ τοῖς τυράννοις, δικαιοσύνην δὲ καὶ πραότητα
barbarians and to-the tyrants justice and and mildness
τοῖς Ἕλλησι καὶ τοῖς φίλοις, τὰ δὲ πλεῖστα τρόπαια
to-the Greeks and to-the friends the and most trophies
τῶν ἀγώνων ἀδάκρυτα καὶ ἀπενθῆ τοῖς πολίταις
of-the contests tearless and without-mourning for-the citizens
καταστήσας, καθαρὰν δὲ τὴν Σικελίαν ἐν οὐδ' ὅλοις
having-set-up pure and — Sicily in not-even whole
ἔτεσιν ὀκτὼ ἀϊδίων καὶ συνοίκων κακῶν καὶ νοσημάτων
years eight of-everlasting and inborn evils and diseases
παραδοὺς τοῖς κατοικοῦσιν, ἤδη πρεσβύτερος ὢν
having-handed-over to-those dwelling already older being
ἀπημβλύνθη τὴν ὄψιν, εἶτα τελέως ἐπηρώθη μετ' ὀλίγον,
was-dimmed the sight then completely was-maimed after a-little
οὔτε αὐτὸς ἑαυτῷ πρόφασιν παρασχὼν οὔτε παροινηθεὶς
neither himself to-himself cause having-given nor drunkenly-abused
ὑπὸ τῆς τύχης, ἀλλὰ συγγενικῆς τινος, ὡς ἔοικεν, αἰτίας
by the fortune but of-family some as it-seems cause
καὶ καταβολῆς ἅμα τῷ χρόνῳ συνεπιθεμένης· λέγονται
and disposition together with-the time joining-in-attack are-said
γὰρ οὐκ ὀλίγοι τῶν κατὰ γένος αὐτῷ προσηκόντων
for not few of-those by birth to-him being-related

ὁμοίως ἀποβαλεῖν τὴν ὄψιν ὑπὸ γήρως ἀπομαρανθεῖσαν.
likewise to-have-lost the sight by old-age having-wasted-away
ὁ δὲ Ἄθανις ἔτι συνεστῶτος τοῦ πρὸς Ἵππωνα πολέμου
— but Athanis still being-on-foot the against Hippo war
καὶ Μάμερκον, ἐν Μυλαῖς ἐπὶ στρατοπέδου φησὶν
and Mamercus at Mylae in camp says
ἀπογλαυκωθῆναι τὴν ὄψιν αὐτοῦ, καὶ πᾶσι φανερὰν
to-have-been-clouded the sight of-him and to-all manifest
γενέσθαι τὴν πήρωσιν, οὐ μὴν ἀποστῆναι διὰ τοῦτο
to-have-become the maiming not indeed to-have-withdrawn because-of this
τῆς πολιορκίας, ἀλλ' ἐμμείναντα τῷ πολέμῳ λαβεῖν
from-the siege but having-persisted in-the war to-have-taken
τοὺς τυράννους· ὡς δὲ ἐπανῆλθεν εἰς Συρακούσας, εὐθὺς
the tyrants when and he-returned to Syracuse at-once
ἀποθέσθαι τὴν μοναρχίαν καὶ παραιτεῖσθαι τοὺς πολίτας,
to-have-laid-down the sole-command and to-have-begged-off the citizens
τῶν πραγμάτων εἰς τὸ κάλλιστον ἡκόντων τέλος.
the affairs to the finest having-come end
Ἐκεῖνον μὲν οὖν αὐτὸν ὑπομείναντα τὴν συμφορὰν ἀλύπως 38
him indeed then himself enduring the misfortune without-grief
ἧττον ἄν τις θαυμάσειε· τῶν δὲ Συρακουσίων ἄξιον ἄγασθαι
less — anyone would-admire of-the but Syracusans worthy to-admire
τὴν πρὸς τὸν ἄνδρα τιμὴν καὶ χάριν ἣν ἐπεδείξαντο
the toward the man honor and gratitude which they-showed
πεπηρωμένῳ, φοιτῶντες ἐπὶ θύρας αὐτοὶ καὶ τῶν ξένων τοὺς
to-him-blinded going to doors themselves and of-the strangers those
παρεπιδημοῦντας ἄγοντες εἰς τὴν οἰκίαν καὶ τὸ χωρίον, ὅπως
sojourning bringing into the house and the estate that
θεάσαιντο τὸν εὐεργέτην αὐτῶν, ἀγαλλόμενοι καὶ μέγα
they-might-behold the benefactor their-own exulting and greatly
φρονοῦντες ὅτι παρ' αὐτοῖς εἵλετο καταζῆσαι τὸν βίον, οὕτω
priding-themselves that with them he-chose to-live-out the life so

λαμπρᾶς ἐπανόδου τῆς εἰς τὴν Ἑλλάδα παρεσκευασμένης
brilliant return the into — Greece having-been-prepared
αὐτῷ διὰ τῶν εὐτυχημάτων καταφρονήσας. πολλῶν
for-him through the successes having-despised many
δὲ καὶ μεγάλων εἰς τὴν ἐκείνου τιμὴν γραφομένων καὶ
and and great-things for the his honor being-written and
πραττομένων οὐδενὸς ἧττον ἦν τὸ ψηφίσασθαι τὸν τῶν
being-done of-none less was the to-have-voted the of-the
Συρακουσίων δῆμον, ὁσάκις συμπέσοι πόλεμος αὐτοῖς
Syracusans people as-often-as befell war them
πρὸς ἀλλοφύλους, Κορινθίῳ χρῆσθαι στρατηγῷ. καλὴν
against foreigners a-Corinthian to-use as-general fine
δὲ καὶ τὸ περὶ τὰς ἐκκλησίας γινόμενον ὄψιν εἰς τιμὴν
and also the about the assemblies happening sight for honor
αὐτοῦ παρεῖχε· τὰ γὰρ ἄλλα δι' αὑτῶν κρίνοντες ἐπὶ
of-him afforded the for other-things by themselves judging for
τὰς μείζονας διασκέψεις ἐκεῖνον ἐκάλουν. ὁ δὲ κομιζόμενος
the greater deliberations him they-called he and being-conveyed
δι' ἀγορᾶς ἐπὶ ζεύγους πρὸς τὸ θέατρον ἐπορεύετο·
through market-place on a-carriage to the theater went
καὶ τῆς ἁπήνης, ὥσπερ ἐτύγχανε καθήμενος, εἰσαγομένης,
and the wagon as he-happened seated being-driven-in
ὁ μὲν δῆμος ἠσπάζετο μιᾷ φωνῇ προσαγορεύων αὐτόν,
the indeed people greeted-him with-one voice addressing him
ὁ δ' ἀντασπασάμενος καὶ χρόνον τινὰ δοὺς ταῖς
he and having-greeted-in-return and time some having-given to-the
εὐφημίαις καὶ τοῖς ἐπαίνοις, εἶτα διακούσας τὸ ζητούμενον,
acclamations and to-the praises then having-heard-out the matter-in-question
ἀπεφαίνετο γνώμην. ἐπιχειροτονηθείσης δὲ ταύτης οἱ μὲν
declared an-opinion having-been-ratified and this the indeed
ὑπηρέται πάλιν ἀπῆγον διὰ τοῦ θεάτρου τὸ ζεῦγος, οἱ
attendants again led-away through the theater the carriage the

δὲ πολῖται βοῇ καὶ κρότῳ προπέμψαντες ἐκεῖνον ἤδη
and citizens with-shout and applause having-escorted him already
τὰ λοιπὰ τῶν δημοσίων καθ᾽ αὑτοὺς ἐχρημάτιζον.
the remaining of-the public-business by themselves transacted
Ἐν τοιαύτῃ δὲ γηροτροφούμενος τιμῇ μετ᾽ εὐνοίας, 39
in such and being-cared-for-in-old-age honor with goodwill
ὥσπερ πατὴρ κοινός, ἐκ μικρᾶς προφάσεως τῷ
as-if a-father common from small cause with-the
χρόνῳ συνεφαψαμένης ἐτελεύτησεν. ἡμερῶν δὲ δοθεισῶν
time combining he-died days and having-been-given
τοῖς μὲν Συρακουσίοις εἰς τὸ παρασκευάσαι τὰ
to-the indeed Syracusans for the to-prepare the-things
περὶ τὴν ταφήν, τοῖς δὲ περιοίκοις καὶ ξένοις εἰς τὸ
about the burial to-the and neighbors and strangers for the
συνελθεῖν, τά τ᾽ ἄλλα λαμπρᾶς χορηγίας ἔτυχε,
to-come-together the both other-things brilliant provision he-obtained
καὶ τὸ λέχος οἱ ψήφῳ τῶν νεανίσκων προκριθέντες
and the bier those by-vote of-the young-men preferred
ἔφερον κεκοσμημένον διὰ τῶν Διονυσίου τυραννείων τότε
carried adorned through the of-Dionysius tyrant's-palaces then
κατεσκαμμένων. προὔπεμπον δὲ πολλαὶ μυριάδες ἀνδρῶν
razed escorted and many myriads of-men
καὶ γυναικῶν, ὧν ὄψις μὲν ἦν ἑορτῇ πρέπουσα,
and women of-whom the-sight indeed was for-a-festival fitting
πάντων ἐστεφανωμένων καὶ καθαρὰς ἐσθῆτας φορούντων,
all being-crowned and clean garments wearing
φωναὶ δὲ καὶ δάκρυα συγκεκραμένα τῷ μακαρισμῷ
voices and and tears mingled with-the blessing
τοῦ τεθνηκότος οὐ τιμῆς ἀφοσίωσιν οὐδὲ λειτουργίαν ἐκ
of-the dead-man not of-honor a-discharge nor a-public-service from
προβουλεύματος, ἀλλὰ πόθον δίκαιον ἐπεδείκνυντο καὶ
decree but longing just displayed and

χάριν ἀληθινῆς εὐνοίας. τέλος δὲ τῆς κλίνης ἐπὶ τὴν
gratitude of-true goodwill at-last and the couch on the
πυρὰν τεθείσης Δημήτριος, ὃς ἦν μεγαλοφωνότατος
pyre having-been-placed Demetrius who was loudest-voiced
τῶν τότε κηρύκων, γεγραμμένον ἀνεῖπε κήρυγμα τοιοῦτον·
of-the then heralds written proclaimed proclamation such-as-this
"Ὁ δῆμος ὁ Συρακουσίων Τιμολέοντα Τιμοδήμου
the people the of-Syracusans Timoleon son-of-Timodemus
Κορίνθιον τόνδε θάπτει μὲν διακοσίων μνῶν, ἐτίμησε
Corinthian this buries indeed at-two-hundred minas honored
δ' εἰς τὸν ἅπαντα χρόνον ἀγῶσι μουσικοῖς, ἱππικοῖς,
and for the all time with-contests musical equestrian
γυμνικοῖς, ὅτι τοὺς τυράννους καταλύσας καὶ τοὺς
gymnastic because the tyrants having-overthrown and the
βαρβάρους καταπολεμήσας καὶ τὰς μεγίστας τῶν ἀναστάτων
barbarians having-defeated and the greatest of-the desolated
πόλεων οἰκίσας ἀπέδωκε τοὺς νόμους τοῖς Σικελιώταις."
cities having-resettled he-gave-back the laws to-the Sicilian-Greeks
Ἐποιήσαντο δὲ τὴν ταφὴν τοῦ σώματος ἐν ἀγορᾷ,
they-made and the burial of-the body in market-place
καὶ στοὰς ὕστερον περιβαλόντες καὶ παλαίστρας
and colonnades later having-thrown-around and wrestling-schools
ἐνοικοδομήσαντες γυμνάσιον τοῖς νέοις ἀνῆκαν καὶ
having-built-in a-gymnasium for-the young they-dedicated and
Τιμολεόντειον προσηγόρευσαν. αὐτοὶ δὲ χρώμενοι πολιτείᾳ
Timoleonteum named-it themselves and using constitution
καὶ νόμοις οὓς ἐκεῖνος κατέστησεν, ἐπὶ πολὺν χρόνον
and laws which he established for much time
εὐδαιμονοῦντες διετέλεσαν.
prospering continued

PLUTARCH

ΕΥΜΕΝΗΣ

Eumenes

I · THE SECRETARY

Eumenes of Cardia is noticed by Philip as a boy and becomes Alexander's chief secretary, honored like his closest friends and given a cavalry command; Neoptolemus mocks him as a man of pen and tablet. Alexander gives him Barsine's sister in marriage. Quarrels with Hephaestion endanger him, and when he pleads poverty, Alexander burns his tent and finds over a thousand talents. After Alexander's death he is assigned Cappadocia, flees Leonnatus to Perdiccas, who conquers it and installs him; there Eumenes builds a cavalry of six thousand three hundred.

Εὐμένη δὲ τὸν Καρδιανὸν ἱστορεῖ Δοῦρις πατρὸς μὲν 1
Eumenes and the Cardian relates Duris of-father indeed
ἁμαξεύοντος ἐν Χερρονήσῳ διὰ πενίαν γενέσθαι,
being-a-wagoner in Chersonese because-of poverty to-have-been-born
τραφῆναι δὲ ἐλευθερίως ἐν γράμμασι καὶ περὶ
to-have-been-reared and liberally in letters and about
παλαίστραν· ἔτι δὲ παιδὸς ὄντος αὐτοῦ Φίλιππον
wrestling-school still and a-boy being he Philip
παρεπιδημοῦντα καὶ σχολὴν ἄγοντα τὰ τῶν Καρδιανῶν
sojourning and leisure having the of-the Cardians
θεάσασθαι παγκράτια μειρακίων καὶ παλαίσματα παίδων,
to-have-watched pancratia of-youths and wrestlings of-boys
ἐν οἷς εὐημερήσαντα τὸν Εὐμένη καὶ φανέντα συνετὸν
in which having-done-well — Eumenes and having-appeared intelligent
καὶ ἀνδρεῖον ἀρέσαι τῷ Φιλίππῳ καὶ ἀναληφθῆναι.
and manly to-have-pleased — Philip and to-have-been-taken-up
δοκοῦσι δὲ εἰκότα λέγειν μᾶλλον οἱ διὰ ξενίαν καὶ
seem and likely-things to-say rather those through guest-friendship and
φιλίαν πατρῴαν τὸν Εὐμένη λέγοντες ὑπὸ τοῦ Φιλίππου
friendship ancestral — Eumenes saying by — Philip
προαχθῆναι. μετὰ δὲ τὴν ἐκείνου τελευτὴν οὔτε συνέσει
to-have-been-advanced after and the his death neither in-intelligence

τινὸς οὔτε πίστει λείπεσθαι δοκῶν τῶν περὶ Ἀλέξανδρον
of-anyone nor in-loyalty to-fall-short seeming of-those about Alexander
ἐκαλεῖτο μὲν ἀρχιγραμματεύς, τιμῆς δὲ ὥσπερ οἱ μάλιστα
he-was-called indeed chief-secretary of-honor but as the most
φίλοι καὶ συνήθεις ἐτύγχανεν, ὥστε καὶ στρατηγὸς
friends and intimates he-obtained so-that even as-general
ἀποσταλῆναι κατὰ τὴν Ἰνδικὴν ἐφ' ἑαυτοῦ μετὰ δυνάμεως,
to-be-sent-off in — India on his-own with a-force
καὶ τὴν Περδίκκου παραλαβεῖν ἱππαρχίαν, ὅτε Περδίκκας,
and the of-Perdiccas to-take-over cavalry-command when Perdiccas
ἀποθανόντος Ἡφαιστίωνος, εἰς τὴν ἐκείνου προῆλθε τάξιν.
having-died Hephaestion into the his advanced post
διὸ καὶ Νεοπτολέμου τοῦ ἀρχιυπασπιστοῦ μετὰ τὴν
wherefore also Neoptolemus the chief-of-the-shield-bearers after the
Ἀλεξάνδρου τελευτὴν λέγοντος ὡς αὐτὸς μὲν ἀσπίδα
of-Alexander death saying that he indeed shield
καὶ λόγχην, Εὐμένης δὲ γραφεῖον ἔχων καὶ πινακίδιον
and spear Eumenes but pen having and writing-tablet
ἠκολούθει, κατεγέλων οἱ Μακεδόνες, μετὰ τῶν ἄλλων
followed laughed-at-him the Macedonians with the other
καλῶν τὸν Εὐμένη καὶ τῆς κατὰ τὸν γάμον οἰκειότητος ὑπὸ
honors — Eumenes also of-the by the marriage kinship by
τοῦ βασιλέως εἰδότες ἀξιωθέντα. Βαρσίνην γὰρ τὴν
the king knowing having-been-deemed-worthy Barsine for the
Ἀρταβάζου πρώτην ἐν Ἀσίᾳ γνοὺς ὁ Ἀλέξανδρος, ἐξ
of-Artabazus first in Asia having-known — Alexander from
ἧς υἱὸν ἔσχεν Ἡρακλέα, τῶν ταύτης ἀδελφῶν Πτολεμαίῳ
whom a-son he-had Heracles of-the her sisters to-Ptolemy
μὲν Ἀπάμαν, Εὐμένει δὲ Βαρσίνην ἐξέδωκεν, ὅτε καὶ
indeed Apama to-Eumenes and Barsine he-gave-in-marriage when also
τὰς ἄλλας Περσίδας διένειμε καὶ συνῴκισε τοῖς ἑταίροις.
the other Persian-women he-distributed and joined-in-marriage to-the companions

Οὐ μὴν ἀλλὰ καὶ προσέκρουσε πολλάκις Ἀλεξάνδρῳ, καὶ 2
not indeed but also he-clashed often with-Alexander and
παρεκινδύνευσε δι᾽ Ἡφαιστίωνα. πρῶτον μὲν γὰρ Εὐΐῳ
ran-risks because-of Hephaestion first indeed for to-Euius
τῷ αὐλητῇ τοῦ Ἡφαιστίωνος οἰκίαν κατανείμαντος ἣν οἱ
the flute-player — of-Hephaestion a-house having-assigned which the
παῖδες ἔτυχον τῷ Εὐμένει προκατειληφότες, ἐλθὼν ὑπὸ
slaves happened — for-Eumenes having-occupied-beforehand having-come in
ὀργῆς πρὸς τὸν Ἀλέξανδρον ὁ Εὐμένης ἐβόα μετὰ Μέντορος
anger to — Alexander — Eumenes shouted with Mentor
ὡς αὐλεῖν εἴη κράτιστον ἢ τραγῳδεῖν τὰ ὅπλα ῥίψαντας
that to-play-the-flute were best or to-act-tragedy the arms having-thrown
ἐκ τῶν χειρῶν, ὥστε Ἀλέξανδρον αὐτῷ συναγανακτεῖν
from the hands so-that Alexander with-him to-share-indignation
καὶ λοιδορεῖσθαι τῷ Ἡφαιστίωνι. ταχὺ μέντοι μεταπεσὼν
and to-rail — at-Hephaestion quickly however having-changed
αὖθις εἶχε τὸν Εὐμένη δι᾽ ὀργῆς, ὡς ὕβρει μᾶλλον
again held — Eumenes in anger as with-insolence rather
πρὸς ἑαυτὸν ἢ παρρησίᾳ πρὸς Ἡφαιστίωνα χρησάμενον.
toward himself than with-frankness toward Hephaestion having-used
Ὕστερον Νέαρχον ἐκπέμπων μετὰ νεῶν ἐπὶ τὴν ἔξω θάλασσαν
then Nearchus sending-out with ships to the outer sea
ᾔτει χρήματα τοὺς φίλους· οὐ γὰρ ἦν ἐν τῷ βασιλείῳ.
he-asked money the friends not for was-there-any in the treasury
τοῦ δ᾽ Εὐμένους αἰτηθέντος μὲν τριακόσια τάλαντα,
— and Eumenes having-been-asked indeed three-hundred talents
δόντος δὲ ἑκατὸν μόνα, καὶ ταῦτα γλίσχρως καὶ μόλις
having-given but a-hundred only and these stingily and with-difficulty
αὐτῷ συνειλέχθαι διὰ τῶν ἐπιτρόπων φάσκοντος, οὐδὲν
for-him to-have-been-collected through the stewards saying nothing
ἐγκαλέσας οὐδὲ δεξάμενος ἐκέλευσε τοὺς παῖδας κρύφα τῇ
having-accused nor having-accepted he-ordered the slaves secretly to-the

σκηνῇ τοῦ Εὐμένους πῦρ ἐνεῖναι, βουλόμενος ἐκκομιζομένων
tent — of-Eumenes fire to-put-in wishing being-carried-out
τῶν χρημάτων λαβεῖν ἐπ᾽ αὐτοφώρῳ ψευδόμενον. ἔφθη
the money to-catch in the-act lying anticipated
δὲ ἡ σκηνὴ καταφλεχθεῖσα, καὶ μετενόησε τῶν γραμμάτων
but the tent having-been-burned-down and he-repented of-the papers
διαφθαρέντων ὁ Ἀλέξανδρος. τὸ δὲ συγχυθὲν χρυσίον
destroyed — Alexander the but melted gold
καὶ ἀργύριον ὑπὸ τοῦ πυρὸς ἀνευρέθη πλεῖον ἢ χιλίων
and silver by the fire was-found more than a-thousand
ταλάντων. ἔλαβε δὲ οὐδέν, ἀλλὰ καὶ γράψας τοῖς πανταχοῦ
talents he-took but nothing but also having-written to-the everywhere
σατράπαις καὶ στρατηγοῖς ἀντίγραφα τῶν διεφθαρμένων
satraps and generals copies of-the destroyed
ἀποστέλλειν πάντα παραλαμβάνειν ἐκέλευσε τὸν Εὐμένη.
to-send everything to-take-over he-ordered — Eumenes
Πάλιν δὲ περὶ δωρεᾶς τινος εἰς διαφορὰν καταστὰς
again and about gift some into quarrel having-fallen
πρὸς τὸν Ἡφαιστίωνα, καὶ πολλὰ μὲν ἀκούσας κακῶς,
with — Hephaestion and many-things indeed having-heard ill
πολλὰ δὲ εἰπών, τότε μὲν οὐκ ἔλαττον ἔσχε· μετ᾽ ὀλίγον
many-things and having-said then indeed not the-worse he-had after a-little
δὲ τελευτήσαντος Ἡφαιστίωνος περιπαθῶν ὁ βασιλεὺς καὶ
but having-died Hephaestion grieving-violently the king and
πᾶσιν οὓς ἐδόκει ζῶντι μὲν ἐκείνῳ φθονεῖν ἐπιχαίρειν
with-all whom he-thought living indeed him to-envy to-rejoice
δὲ τεθνηκότι τραχέως ὁμιλῶν καὶ χαλεπὸς ὢν, μάλιστα
and dead harshly dealing and harsh being most
τὸν Εὐμένη δι᾽ ὑποψίας εἶχε, καὶ προὔφερε πολλάκις
— Eumenes in suspicion held and cast-up often
τὰς διαφορὰς καὶ λοιδορίας ἐκείνας. ὁ δὲ πανοῦργος ὢν
the quarrels and abuses those he but crafty being

καὶ πιθανὸς ἐπεχείρησεν οἷς ἀπώλλυτο σώζειν ἑαυτόν.
and persuasive attempted by-what he-was-perishing to-save himself
κατέφυγε γὰρ εἰς τὴν πρὸς Ἡφαιστίωνα φιλοτιμίαν
he-took-refuge for in the toward Hephaestion love-of-honor
Ἀλεξάνδρου καὶ χάριν, ὑφηγούμενός τε τιμὰς αἷ μάλιστα
of-Alexander and favor suggesting both honors which most
κοσμεῖν ἔμελλον τὸν τεθνηκότα, καὶ χρήματα τελῶν εἰς
to-adorn were-going the dead and money spending on
τὴν τοῦ τάφου κατασκευὴν ἀφειδῶς καὶ προθύμως.
the of-the tomb construction unsparingly and eagerly
Ἀποθανόντος δὲ Ἀλεξάνδρου καὶ τῆς φάλαγγος διεστώσης 3
having-died and Alexander and the phalanx standing-apart
πρὸς τοὺς ἑταίρους, τῇ μὲν γνώμῃ τούτοις προσένειμεν
from the companions in-the indeed judgment to-these attached
ἑαυτὸν ὁ Εὐμένης, τῷ δὲ λόγῳ κοινός τις ἦν πρὸς
himself — Eumenes in-the but word common somebody was toward
ἀμφοτέρους καὶ ἰδιώτης, ὡς οὐδὲν αὐτῷ προσῆκον ξένῳ
both and a-private-man as nothing to-him befitting a-foreigner
ὄντι πολυπραγμονεῖν ἐν ταῖς Μακεδόνων διαφοραῖς. καὶ
being to-meddle in the of-Macedonians quarrels and
τῶν ἄλλων ἑταίρων ἐκ Βαβυλῶνος ἀνασκευασαμένων αὐτὸς
the other companions from Babylon having-packed-up himself
ὑπολειφθεὶς ἐν τῇ πόλει κατεπράϋνε πολλοὺς τῶν πεζῶν καὶ
left-behind in the city soothed many of-the foot and
πρὸς τὰς διαλύσεις ἡδίους ἐποίησεν. ἐπεὶ δὲ ἀναμιχθέντες
toward the reconciliations more-pleased made when and having-mingled
ἀλλήλοις οἱ στρατηγοὶ καὶ καταστάντες ἐκ τῶν
with-one-another the generals and having-settled from the
πρώτων ταραχῶν διενέμοντο σατραπείας καὶ στρατηγίας,
first disturbances distributed satrapies and commands
Εὐμένης λαμβάνει Καππαδοκίαν καὶ Παφλαγονίαν καὶ τὴν
Eumenes takes Cappadocia and Paphlagonia and the

ὑποκειμένην τῇ Ποντικῇ θαλάττῃ μέχρι Τραπεζοῦντος, οὔπω
lying-below the Pontic sea as-far-as Trapezus not-yet
τότε Μακεδόνων οὖσαν, Ἀριαράθης γὰρ αὐτῆς ἐβασίλευεν,
then of-Macedonians being Ariarathes for over-it ruled-as-king
ἀλλ' ἔδει Λεοννάτον καὶ Ἀντίγονον χειρὶ μεγάλῃ
but it-was-needful Leonnatus and Antigonus with-a-hand great
τὸν Εὐμένη κατάγοντας ἀποδεῖξαι τῆς χώρας σατράπην.
— Eumenes bringing-back to-declare of-the land satrap
Ἀντίγονος μὲν οὖν οὐ προσέσχε τοῖς γραφεῖσιν ὑπὸ
Antigonus indeed then not heeded the things-written by
Περδίκκου, μετέωρος ὢν ἤδη καὶ περιφρονῶν ἁπάντων,
Perdiccas lofty being already and despising all
Λεοννάτος δὲ κατέβη μὲν ἄνωθεν εἰς Φρυγίαν ἀναδεξόμενος
Leonnatus and came-down indeed from-above into Phrygia going-to-undertake
Εὐμένει τὴν στρατείαν· Ἑκαταίου δὲ τοῦ Καρδιανῶν
for-Eumenes the campaign Hecataeus and the of-Cardians
τυράννου συμμίξαντος αὐτῷ καὶ δεομένου βοηθεῖν μᾶλλον
tyrant having-met him and begging to-help rather
Ἀντιπάτρῳ καὶ Μακεδόνων τοῖς ἐν Λαμίᾳ πολιορκουμένοις,
to-Antipater and of-Macedonians those in Lamia being-besieged
ὥρμητο διαβαίνειν καὶ τὸν Εὐμένη παρεκάλει καὶ διήλλαττε
he-was-eager to-cross and — Eumenes he-summoned and reconciled
πρὸς τὸν Ἑκαταῖον. ἦν γὰρ αὐτοῖς πατρική τις
with — Hecataeus there-was for between-them ancestral some
ἐκ πολιτικῶν διαφορῶν ὑποψία πρὸς ἀλλήλους· καὶ
from political quarrels suspicion toward one-another and
πολλάκις ὁ Εὐμένης ἐγεγόνει φανερὸς κατηγορῶν τοῦ
often — Eumenes had-become openly accusing —
Ἑκαταίου τυραννοῦντος καὶ παρακαλῶν Ἀλέξανδρον
Hecataeus being-tyrant and urging Alexander
ἀποδοῦναι τοῖς Καρδιανοῖς τὴν ἐλευθερίαν. διὸ καὶ τότε
to-give-back to-the Cardians the freedom wherefore also then

τοῦ Εὐμένους παραιτουμένου τὴν ἐπὶ τοὺς Ἕλληνας
— *Eumenes declining the against the Greeks*
στρατείαν, καὶ δεδιέναι φάσκοντος Ἀντίπατρον, μήπως
campaign and to-fear saying Antipater lest
Ἑκαταίῳ χαριζόμενος καὶ πάλαι μισῶν αὐτὸν ἀνέλῃ,
to-Hecataeus gratifying and long-since hating him he-might-kill
πιστεύσας ὁ Λεοννάτος οὐδὲν ὧν ἐφρόνει πρὸς αὐτὸν
having-trusted-him — Leonnatus nothing of-what he-intended toward him
ἀπεκρύψατο. λόγος μὲν γὰρ ἦν ἡ βοήθεια καὶ πρόφασις,
concealed pretext indeed for was the aid and excuse
ἐγνώκει δὲ διαβὰς εὐθὺς ἀντιποιεῖσθαι Μακεδονίας· καί
he-had-resolved but having-crossed at-once to-lay-claim-to Macedonia and
τινας ἐπιστολὰς ἔδειξε Κλεοπάτρας μεταπεμπομένης αὐτὸν
some letters he-showed of-Cleopatra summoning him
εἰς Πέλλαν ὡς γαμησομένης. ὁ δ' Εὐμένης, εἴτε τὸν
to Pella as going-to-marry-him — but Eumenes whether —
Ἀντίπατρον δεδοικὼς εἴτε τὸν Λεοννάτον ἔμπληκτον ὄντα
Antipater fearing or — Leonnatus impulsive being
καὶ φορᾶς μεστὸν ἀβεβαίου καὶ ὀξείας ἀπογνούς, νύκτωρ
and of-impetus full unstable and sharp having-despaired-of by-night
ἀνέζευξε τὴν ἑαυτοῦ λαβὼν ἀποσκευήν. εἶχε δὲ τριακοσίους
broke-camp the his-own having-taken baggage he-had and three-hundred
μὲν ἱππεῖς, διακοσίους δὲ τῶν παίδων ὁπλοφόρους, ἐν δὲ
indeed horsemen two-hundred and of-the slaves armed in and
χρυσοῖς εἰς ἀργυρίου λόγον τάλαντα πεντακισχίλια. φυγὼν
gold into silver's reckoning talents five-thousand having-fled
δὲ οὕτως πρὸς Περδίκκαν καὶ τὰ Λεοννάτου βουλεύματα
and so to Perdiccas and the of-Leonnatus plans
κατειπὼν εὐθὺς μὲν ἴσχυε μέγα παρ' αὐτῷ καὶ τοῦ
having-denounced at-once indeed he-was-strong greatly with him and of-the
συνεδρίου μετεῖχεν, ὀλίγον δὲ ὕστερον εἰς Καππαδοκίαν
council partook a-little and later into Cappadocia

κατήχθη μετὰ δυνάμεως, αὐτοῦ Περδίκκου παρόντος καὶ
he-was-restored with a-force himself Perdiccas being-present and
στρατηγοῦντος. Ἀριαράθου δὲ ληφθέντος αἰχμαλώτου καὶ
commanding Ariarathes and having-been-taken captive and
τῆς χώρας ὑποχειρίου γενομένης ἀποδείκνυται σατράπης.
the land subject having-become is-appointed satrap
καὶ τὰς μὲν πόλεις τοῖς ἑαυτοῦ φίλοις παρέδωκε, καὶ
and the indeed cities to-the his-own friends he-handed-over and
φρουράρχους ἐγκατέστησε καὶ δικαστὰς ἀπέλιπε καὶ
garrison-commanders installed and judges left and
διοικητὰς οὓς ἐβούλετο, τοῦ Περδίκκου μηδὲν ἐν τούτοις
administrators whom he-wished — Perdiccas nothing in these
πολυπραγμονοῦντος, αὐτὸς δὲ συνανέζευξεν ἐκεῖνόν τε
meddling himself and departed-together him both
θεραπεύων καὶ τῶν βασιλέων ἀπολείπεσθαι μὴ βουλόμενος.
courting and from-the kings to-be-left-behind not wishing
4 Οὐ μὴν ἀλλ' ὁ Περδίκκας ἐφ' ἃ μὲν ὥρμητο
not indeed but — Perdiccas to what-things indeed he-was-eager
πιστεύων δι' αὑτοῦ προσάξεσθαι, τὰ δὲ ὑπολειπόμενα
trusting through himself to-bring-over the-things but left-behind
δεῖσθαι δραστηρίου τε καὶ πιστοῦ φύλακος οἰόμενος,
to-need of-active both and faithful guardian thinking
ἀπέπεμψεν ἐκ Κιλικίας τὸν Εὐμένη, λόγῳ μὲν ἐπὶ
sent-off from Cilicia — Eumenes in-word indeed to
τὴν ἑαυτοῦ σατραπείαν, ἔργῳ δὲ τὴν ὅμορον Ἀρμενίαν
the his-own satrapy in-deed but the bordering Armenia
τεταραγμένην ὑπὸ Νεοπτολέμου διὰ χειρὸς ἔξοντα. τοῦτον
thrown-into-confusion by Neoptolemus in hand going-to-hold this-one
μὲν οὖν ὁ Εὐμένης, καίπερ ὄγκῳ τινὶ καὶ φρονήματι
indeed then — Eumenes although by-pomp some and by-pride
κενῷ διεφθαρμένον, ἐπειρᾶτο ταῖς ὁμιλίαις κατέχειν·
empty ruined tried by-the conversations to-restrain

αὐτὸς δὲ τὴν φάλαγγα τῶν Μακεδόνων ἐπηρμένην καὶ
himself and the phalanx of-the Macedonians elated and
θρασεῖαν εὑρών, ὥσπερ ἀντίταγμα κατεσκεύαζεν αὐτῇ
bold having-found as-if a-counterpoise prepared to-it
δύναμιν ἱππικήν, τῶν μὲν ἐγχωρίων τοῖς ἱππεύειν
a-force of-cavalry of-the indeed natives to-those to-ride
δυναμένοις ἀνεισφορίας διδοὺς καὶ ἀτελείας, τῶν δὲ περὶ
being-able exemptions-from-tax giving and immunities of-those and around
αὑτὸν οἷς μάλιστα ἐπίστευεν ὠνητοὺς διανέμων ἵππους,
himself whom most he-trusted bought distributing horses
φιλοτιμίαις τε καὶ δωρεαῖς τὰ φρονήματα παροξύνων καὶ
with-honors both and gifts the spirits sharpening and
τὰ σώματα κινήσεσι καὶ μελέταις διαπονῶν, ὥστε τοὺς
the bodies with-movements and exercises training so-that the
μὲν ἐκπλαγῆναι, τοὺς δὲ θαρρῆσαι τῶν Μακεδόνων,
ones to-be-astonished the others to-take-courage of-the Macedonians
ὁρῶντας ὀλίγῳ χρόνῳ περὶ αὐτὸν ἠθροισμένους ἱππεῖς
seeing in-little time around him gathered horsemen
οὐκ ἐλάττους ἑξακισχιλίων καὶ τριακοσίων.
not fewer than-six-thousand and three-hundred

Made general against Craterus and Antipater, Eumenes defeats the treacherous Neoptolemus and refuses their offers. Dreaming of two Alexanders, one helped by Athena and the other by Demeter, he gives his men Demeter as the watchword and hides from them that Craterus leads the enemy. Craterus falls unrecognized; Eumenes and Neoptolemus fight hand to hand until Neoptolemus is killed, and Eumenes weeps over the dying Craterus. Condemned by the Macedonians after Perdiccas' death, he wins his soldiers' loyalty at Celaenae.

Ἐπεὶ δὲ Κρατερὸς καὶ Ἀντίπατρος τῶν Ἑλλήνων
when and Craterus and Antipater the Greeks
περιγενόμενοι διέβαινον εἰς Ἀσίαν τὴν Περδίκκου
having-overcome were-crossing into Asia the of-Perdiccas
καταλύσοντες ἀρχήν, καὶ προσηγγέλλοντο μέλλοντες
going-to-overthrow rule and were-reported being-about
ἐμβαλεῖν εἰς Καππαδοκίαν, ὁ Περδίκκας αὐτὸς ἐπὶ
to-invade into Cappadocia — Perdiccas himself against
Πτολεμαῖον στρατεύων ἀπέδειξε τὸν Εὐμένη τῶν ἐν Ἀρμενίᾳ
Ptolemy campaigning appointed — Eumenes of-the in Armenia
καὶ Καππαδοκίᾳ δυνάμεων αὐτοκράτορα στρατηγόν· καὶ
and Cappadocia forces with-full-powers general and
περὶ τούτων ἐπιστολὰς ἔπεμψεν, Ἀλκέταν μὲν καὶ
about these letters he-sent Alcetas indeed and
Νεοπτόλεμον Εὐμένει προσέχειν κελεύσας, Εὐμένη δὲ
Neoptolemus to-Eumenes to-attend having-bidden Eumenes and
χρῆσθαι τοῖς πράγμασιν ὅπως αὐτὸς ἔγνωκεν. Ἀλκέτας
to-handle the affairs as he-himself has-decided Alcetas
μὲν οὖν ἄντικρυς ἀπείπατο τὴν στρατείαν, ὡς τῶν ὑπ'
indeed then outright refused the campaign as the under
αὐτῷ Μακεδόνων Ἀντιπάτρῳ μὲν αἰδουμένων μάχεσθαι,
him Macedonians with-Antipater indeed being-ashamed to-fight

Κρατερὸν δὲ καὶ δέχεσθαι δι᾽ εὔνοιαν ἑτοίμων ὄντων·
Craterus and even to-receive through goodwill ready being
Νεοπτόλεμος δὲ βουλεύων μὲν ἐπ᾽ Εὐμένει προδοσίαν
Neoptolemus and plotting indeed against Eumenes treachery
οὐκ ἔλαθε, καλούμενος δὲ οὐχ ὑπήκουεν, ἀλλὰ παρέταττε
not escaped-notice being-summoned and not he-obeyed but drew-up
τὴν δύναμιν. ἔνθα πρῶτον ὁ Εὐμένης ἀπέλαυσε τῆς ἑαυτοῦ
the force there first — Eumenes enjoyed the his-own
προνοίας καὶ παρασκευῆς· ἡττώμενος γὰρ ἤδη κατὰ τὸ
foresight and preparation being-worsted for already in the
πεζὸν ἐτρέψατο τοῖς ἱππεῦσι τὸν Νεοπτόλεμον καὶ τὴν
infantry he-routed with-the horsemen — Neoptolemus and the
ἀποσκευὴν ἔλαβεν αὐτοῦ, καὶ τῇ φάλαγγι διεσπαρμένῃ
baggage took of-him and on-the phalanx scattered
περὶ τὴν δίωξιν ἄθρους ἐπελάσας ἠνάγκασε τὰ ὅπλα θέσθαι
in the pursuit in-a-body having-charged he-compelled the arms to-lay-down
καὶ δόντας καὶ λαβόντας ὅρκους αὐτῷ συστρατεύειν.
and having-given and having-received oaths with-him to-campaign-together
Ὁ μὲν οὖν Νεοπτόλεμος ὀλίγους τινὰς συναγαγὼν
— indeed then Neoptolemus few some having-gathered
ἐκ τῆς τροπῆς ἔφυγε πρὸς Κρατερὸν καὶ Ἀντίπατρον.
from the rout fled to Craterus and Antipater
παρ᾽ ἐκείνων δὲ ἀπέσταλτο πρεσβεία πρὸς Εὐμένη
from those and had-been-sent an-embassy to Eumenes
παρακαλοῦσα μεταθέσθαι πρὸς αὐτούς, καρπούμενον μὲν
summoning to-change-sides to them enjoying indeed
ἃς εἶχε σατραπείας, προσλαβόντα δὲ στρατιὰν καὶ
what he-held satrapies having-received-in-addition and army and
χώραν παρ᾽ αὐτῶν, Ἀντιπάτρῳ μὲν ἀντ᾽ ἐχθροῦ φίλον
land from them to-Antipater indeed instead-of enemy friend
γενόμενον, Κρατερῷ δὲ μὴ γενόμενον ἐκ φίλου πολέμιον.
having-become to-Craterus and not having-become from friend enemy

ταῦτα ὁ Εὐμένης ἀκούσας Ἀντιπάτρῳ μὲν οὐκ ἂν ἔφη
these-things — Eumenes having-heard to-Antipater indeed not — he-said
παλαιὸς ὢν ἐχθρὸς νῦν γενέσθαι φίλος, ὅτε αὐτὸν ὁρᾷ
old being enemy now would-become friend when him he-sees
τοῖς φίλοις ὡς ἐχθροῖς χρώμενον, Κρατερὸν δὲ Περδίκκᾳ
the friends as enemies treating Craterus and with-Perdiccas
διαλλάττειν ἕτοιμος εἶναι καὶ συνάγειν ἐπὶ τοῖς ἴσοις
to-reconcile ready to-be and to-bring-together on the equal
καὶ δικαίοις· ἄρχοντος δὲ πλεονεξίας τῷ ἀδικουμένῳ
and just-terms beginning but of-encroachment the wronged-one
βοηθήσειν μέχρι ἂν ἐμπνέῃ, καὶ μᾶλλον τὸ σῶμα καὶ
going-to-help as-long-as — he-breathes and rather the body and
τὸν βίον ἢ τὴν πίστιν προήσεσθαι.
the life than the faith to-give-up

6 Οἱ μὲν οὖν περὶ τὸν Ἀντίπατρον πυθόμενοι ταῦτα κατὰ
those indeed then about — Antipater having-learned these-things at
σχολὴν ἐβουλεύοντο περὶ τῶν ὅλων, ὁ Νεοπτόλεμος δὲ
leisure were-deliberating about the whole-matter — Neoptolemus and
μετὰ τὴν φυγὴν ἀφικόμενος πρὸς αὐτοὺς τήν τε μάχην
after the flight having-come to them the both battle
ἀπήγγελλε καὶ παρεκάλει βοηθεῖν, μάλιστα μὲν ἀμφοτέρους,
reported and urged to-help most indeed both
πάντως δὲ Κρατερόν· ποθεῖσθαι γὰρ ὑπερφυῶς ἐκεῖνον ὑπὸ
in-any-case and Craterus to-be-longed-for for prodigiously that-one by
τῶν Μακεδόνων, κἂν μόνον ἴδωσι τὴν καυσίαν αὐτοῦ καὶ
the Macedonians and-if only they-see the hat of-him and
τὴν φωνὴν ἀκούσωσι, μετὰ τῶν ὅπλων ἥξειν φερομένους.
the voice hear with the arms to-come rushing
καὶ γὰρ ἦν ὄντως ὄνομα τοῦ Κρατεροῦ μέγα, καὶ μετὰ
and for was really name — of-Craterus great and after
τὴν Ἀλεξάνδρου τελευτὴν τοῦτον ἐπόθησαν οἱ πολλοί,
the of-Alexander death him longed-for the many

μνημονεύοντες ὅτι καὶ πρὸς Ἀλέξανδρον ὑπὲρ αὐτῶν
remembering that even toward Alexander on-behalf-of them
ἀνεδέξατο πολλάκις ἀπεχθείας πολλάς, ὑποφερομένου πρὸς
he-had-undertaken often enmities many as-he-gave-way to
τὸν Περσικὸν ζῆλον ἀντιλαμβανόμενος, καὶ τοῖς πατρίοις
the Persian emulation opposing and the ancestral-ways
ἀμύνων διὰ τρυφὴν καὶ ὄγκον ἤδη περιυβριζομένοις.
defending through luxury and pomp already being-insulted
Τότε δ' οὖν ὁ Κρατερὸς τὸν μὲν Ἀντίπατρον εἰς
then and at-any-rate — Craterus — indeed Antipater into
Κιλικίαν ἀπέστειλεν, αὐτὸς δὲ τῆς δυνάμεως ἀναλαβὼν πολὺ
Cilicia sent-off himself and of-the force having-taken-up large
μέρος ἐπὶ τὸν Εὐμένη μετὰ τοῦ Νεοπτολέμου προῆγεν,
part against — Eumenes with — Neoptolemus led-forward
οἰόμενος οὐ προσδεχομένῳ καὶ μετὰ πρόσφατον νίκην ἐν
thinking not expecting and after fresh victory in
ἀταξίᾳ καὶ περὶ πότους ἔχοντι τὴν δύναμιν ἐπιπεσεῖσθαι. τὸ
disorder and over drinkings having the force to-fall-upon the
μὲν οὖν προαισθέσθαι τὴν ἔφοδον αὐτοῦ τὸν Εὐμένη καὶ
indeed then to-have-perceived-beforehand the attack of-him — Eumenes and
προπαρασκευάσασθαι νηφούσης ἄν τις ἡγεμονίας, οὐ μὴν
to-have-prepared-beforehand of-sober — one of-generalship not indeed
ἄκρας θείη δεινότητος· τὸ δὲ μὴ μόνον τοὺς πολεμίους
of-highest might-set-it-down ability the but not only the enemies
ἃ μὴ καλῶς εἶχεν αἰσθέσθαι διαφυγεῖν, ἀλλὰ καὶ τοὺς
what not well was to-perceive to-escape but also those
μετ' αὐτοῦ στρατευομένους ἀγνοοῦντας ᾧ μαχοῦνται
with him campaigning not-knowing against-whom they-will-fight
προενσεῖσαι τῷ Κρατερῷ καὶ ἀποκρύψαι τὸν ἀντιστράτηγον,
to-lead-against — to-Craterus and to-conceal the opposing-general
ἴδιον δοκεῖ τούτου τοῦ ἡγεμόνος ἔργον γενέσθαι. διέδωκε
peculiar seems of-this the leader work to-have-been he-spread

μὲν οὖν λόγον ὡς Νεοπτόλεμος αὖθις ἐπίοι καὶ
indeed then a-report that Neoptolemus again was-attacking and
Πίγρης, ἔχοντες ἱππεῖς καὶ Καππαδοκῶν καὶ Παφλαγόνων.
Pigres having horsemen both of-Cappadocians and of-Paphlagonians
νυκτὸς δὲ ἀναζεῦξαι βουλόμενος, εἶτα καταδαρθὼν ὄψιν
by-night and to-break-camp wishing then having-fallen-asleep a-vision
εἶδεν ἀλλόκοτον. ἐδόκει γὰρ ὁρᾶν Ἀλεξάνδρους δύο
he-saw strange he-seemed for to-see Alexanders two
παρασκευαζομένους ἀλλήλοις μάχεσθαι, μιᾶς ἑκάτερον
preparing with-one-another to-fight of-one each
ἡγούμενον φάλαγγος· εἶτα τῷ μὲν τὴν Ἀθηνᾶν, τῷ δὲ
leading phalanx then to-the one — Athena to-the other
τὴν Δήμητραν βοηθοῦσαν ἐλθεῖν, γενομένου δὲ ἀγῶνος
— Demeter helping to-come having-happened and a-contest
ἰσχυροῦ κρατηθῆναι τὸν μετὰ τῆς Ἀθηνᾶς, τῷ δὲ νικῶντι
mighty to-be-overcome the-one with — Athena for-the and victor
σταχύων δρεπομένην τὴν Δήμητραν συμπλέκειν στέφανον.
of-ears plucking — Demeter to-weave a-crown
Αὐτόθεν μὲν οὖν τὴν ὄψιν εἴκαζεν εἶναι πρὸς αὑτοῦ,
at-once indeed then the vision he-conjectured to-be on-the-side-of him
μαχομένου περὶ γῆς ἀρίστης καὶ τότε πολὺν καὶ καλὸν
fighting about land best and then much and fine
ἐχούσης ἐν κάλυκι στάχυν· ἅπασα γὰρ κατέσπαρτο καὶ
having in husk ear-of-grain all for had-been-sown and
παρεῖχεν εἰρήνῃ πρέπουσαν ὄψιν, ἀμφιλαφῶς τῶν πεδίων
afforded to-peace fitting sight abundantly the plains
κομώντων· μᾶλλον δὲ ἐπερρώσθη πυθόμενος σύνθημα
being-covered-with-crops more and he-was-strengthened having-learned watchword
τοῖς πολεμίοις Ἀθηνᾶν καὶ Ἀλέξανδρον εἶναι. Δήμητραν
to-the enemies Athena and Alexander to-be Demeter
δὴ καὶ αὐτὸς ἐδίδου σύνθημα καὶ Ἀλέξανδρον, ἀναδεῖσθαί
indeed also himself gave watchword and Alexander to-bind-on

τε πάντας ἐκέλευε καὶ καταστέφειν τὰ ὅπλα τῶν σταχύων
both all he-bade and to-crown the arms of-the ears
λαμβάνοντας. ὁρμήσας δὲ πολλάκις ἐξαγορεῦσαι καὶ
taking having-been-moved and often to-speak-out and
φράσαι τοῖς περὶ αὐτὸν ἡγεμόσι καὶ στρατηγοῖς πρὸς
to-tell to-those around him officers and generals against
ὃν ἔμελλεν ὁ ἀγὼν ἔσεσθαι, καὶ μὴ μόνος ἐν αὑτῷ
whom was-about the contest to-be and not alone in himself
θέμενος ἀποκρύψαι καὶ κατασχεῖν ἀπόρρητον οὕτως
having-placed to-conceal and to-hold secret so
ἀναγκαῖον, ὅμως ἐνέμεινε τοῖς λογισμοῖς καὶ διεπίστευσε
necessary nevertheless he-abided by-the reasonings and entrusted
τῇ γνώμῃ τὸν κίνδυνον.
to-the judgment the danger
Ἀντέταξε δὲ Κρατερῷ Μακεδόνων μὲν οὐδένα, δύο δὲ 7
he-arrayed-against and to-Craterus of-Macedonians indeed none two but
ἱππαρχίας ξενικάς, ὧν Φαρνάβαζος ὁ Ἀρταβάζου καὶ
cavalry-squadrons foreign of-which Pharnabazus the of-Artabazus and
Φοῖνιξ ὁ Τενέδιος ἡγοῦντο, διακελευσάμενος ὀφθέντων
Phoenix the Tenedian led having-ordered-them having-been-sighted
τῶν πολεμίων ἐλαύνειν κατὰ τάχος καὶ συμπλέκεσθαι, μὴ
the enemies to-ride at speed and to-close not
διδόντας ἀναστροφὴν μηδὲ φωνήν, μηδὲ κήρυκα πεμπόμενον
giving turning-back nor voice nor a-herald sent
προσιεμένους. ἐδεδίει γὰρ ἰσχυρῶς τοὺς Μακεδόνας, μὴ
admitting he-feared for strongly the Macedonians lest
γνωρίσαντες τὸν Κρατερὸν οἴχωνται μεταβαλόμενοι πρὸς
having-recognized — Craterus they-be-gone having-changed-sides to
ἐκεῖνον. αὐτὸς δὲ τοὺς ἐρρωμενεστάτους ἱππεῖς τριακοσίους
him himself and the strongest horsemen three-hundred
εἰς ἄγημα συντάξας καὶ παρελάσας ἐπὶ τὸ δεξιὸν ἔμελλε
into guard having-formed and having-ridden-past to the right was-about

τοῖς περὶ Νεοπτόλεμον ἐπιχειρεῖν. ὡς δὲ τὸν ἐν μέσῳ λόφον
those about Neoptolemus to-attack when and the in middle hill
ὑπερβαλόντες ὤφθησαν ὀξεῖαν καὶ μεθ᾽ ὁρμῆς σφοδροτέρας
having-crossed they-were-seen swift and with impetus more-vehement
ποιούμενοι τὴν ἔφοδον, ἐκπλαγεὶς ὁ Κρατερὸς καὶ πολλὰ
making the attack astounded — Craterus and many-things
λοιδορήσας τὸν Νεοπτόλεμον ὡς ἐξηπατημένος ὑπ᾽ αὐτοῦ
having-reviled — Neoptolemus as having-been-deceived by him
περὶ τῆς τῶν Μακεδόνων μεταβολῆς, ἐγκελευσάμενος
about the of-the Macedonians change having-exhorted
ἀνδραγαθεῖν τοῖς περὶ αὐτὸν ἡγεμόσιν ἀντεξήλασε.
to-be-brave the about himself officers charged-in-reply
Γενομένης δὲ τῆς πρώτης συρράξεως βαρείας καὶ τῶν
having-happened and the first clash heavy and the
δοράτων ταχὺ συντριβέντων, τοῦ δὲ ἀγῶνος ἐν τοῖς ξίφεσιν
spears quickly having-been-shattered the and contest in the swords
ὄντος, οὐ καταισχύνας ὁ Κρατερὸς τὸν Ἀλέξανδρον, ἀλλὰ
being not having-disgraced — Craterus — Alexander but
πολλοὺς μὲν καταβαλών, πολλάκις δὲ τρεψάμενος τοὺς
many indeed having-struck-down often and having-routed those
ἀντιτεταγμένους, τέλος δὲ πληγεὶς ὑπὸ Θρᾳκὸς ἐκ
arrayed-against at-last and having-been-struck by a-Thracian from
πλαγίων προσελάσαντος ἀπερρύη τοῦ ἵππου. πεσόντα
the-side having-ridden-at slipped-off the horse having-fallen
δὲ αὐτὸν οἱ μὲν ἄλλοι παρήλασαν ἀγνοοῦντες, Γοργίας
and him the indeed others rode-past not-knowing Gorgias
δὲ τῶν Εὐμένους στρατηγῶν ἔγνω τε καὶ καταβὰς
but of-the of-Eumenes generals recognized both and having-dismounted
περιέστησε φρουρὰν τῷ σώματι κακῶς ἤδη διακειμένου
set-around a-guard about-the body badly already disposed
καὶ δυσθανατοῦντος. ἐν τούτῳ δὲ καὶ Νεοπτόλεμος
and dying-hard in this and also Neoptolemus

Εὐμένει συνήρχετο. μισοῦντες γὰρ ἀλλήλους πάλαι καὶ
with-Eumenes was-engaging hating for one-another long-since and
δι᾽ ὀργῆς ἔχοντες ἐν μὲν δυσὶν ἀναστροφαῖς οὐ κατεῖδον,
in anger holding in indeed two turnings not they-saw
ἐν δὲ τῇ τρίτῃ γνωρίσαντες εὐθὺς ἤλαυνον, σπασάμενοι τὰ
in but the third having-recognized at-once they-rode having-drawn the
ἐγχειρίδια καὶ βοῶντες. τῶν δ᾽ ἵππων ἐξ ἐναντίας βίᾳ
daggers and shouting the and horses from opposite with-force
συμπεσόντων ὥσπερ τριήρων, τὰς ἡνίας ἀφέντες ἀλλήλων
having-collided like triremes the reins having-let-go each-other
ἐπεδράξαντο ταῖς χερσί, τά τε κράνη περισπῶντες καὶ
grasped with-the hands the both helmets tearing-off and
περιρρηγνύντες ἐκ τῶν ἐπωμίδων τοὺς θώρακας. πρὸς
tearing-away from the shoulder-pieces the breastplates at
δὲ τὸν σπαραγμὸν ὑπεκδραμόντων ἅμα τῶν ἵππων,
and the tearing running-out-from-under at-once the horses
ἀπορρυέντες εἰς γῆν καὶ περιπεσόντες ἀλλήλοις ἐν λαβαῖς
having-slipped-off to ground and having-fallen-on one-another in grips
ἦσαν καὶ διεπάλαιον. εἶτα ὁ μὲν Εὐμένης τοῦ Νεοπτολέμου
were and wrestled then — indeed Eumenes — Neoptolemus
προεξανισταμένου τὴν ἰγνύαν ὑπέκοψεν αὐτὸς εἰς ὀρθὸν
rising-first the hamstring cut-under himself to upright
φθάσας καταστῆναι, ὁ δὲ Νεοπτόλεμος εἰς θάτερον
having-anticipated to-stand — but Neoptolemus on the-one
ἐρεισάμενος γόνυ, θάτερον δὲ πεπηρωμένος, ἠμύνετο μὲν
having-propped knee the-other and maimed defended-himself indeed
εὐρώστως κάτωθεν, οὐ θανασίμους δὲ πληγὰς ὑποφέρων,
stoutly from-below not mortal but blows dealing
πληγεὶς δὲ παρὰ τὸν τράχηλον ἔπεσε καὶ παρείθη. τοῦ
having-been-struck and by the neck fell and was-relaxed —
δὲ Εὐμένους δι᾽ ὀργὴν καὶ μῖσος παλαιὸν τά τε ὅπλα
and Eumenes through anger and hatred old the both arms

περισπῶντος αὐτοῦ καὶ κακῶς λέγοντος, ἔτι τὸ ξίφος ἔχων
stripping of-him and ill speaking still the sword having
ἔλαθεν ὑπὸ τὸν θώρακα τρώσας, ᾗ παρέψαυσε
he-escaped-notice under the breastplate having-wounded where it-touched
τοῦ βουβῶνος ἀποβάς. ἡ δὲ πληγὴ μᾶλλον ἐφόβησεν
the groin having-gone-down the but blow more frightened
ἢ ἔβλαψε τὸν Εὐμένη, δι' ἀσθένειαν ἀμυδρὰ γενομένη.
than harmed — Eumenes through weakness faint having-become
Σκυλεύσας δὲ τὸν νεκρὸν εἶχε μὲν χαλεπῶς ὑπὸ
having-stripped and the corpse he-was indeed badly from
τραυμάτων μηροὺς καὶ βραχίονας διακεκομμένος, ὅμως
wounds thighs and arms cut-through nevertheless
δὲ ἀναβληθεὶς ἐπὶ τὸν ἵππον ἐδίωκε πρὸς θάτερον κέρας,
but having-been-put-up on the horse he-pursued toward the-other wing
ὡς ἔτι συνεστώτων τῶν πολεμίων. πυθόμενος δὲ τὴν
as still standing-together the enemies having-learned but the
Κρατεροῦ τελευτὴν καὶ προσελάσας, ὡς εἶδεν ἐμπνέοντα
of-Craterus end and having-ridden-up when he-saw-him breathing
καὶ συνιέντα, καταβὰς ἀπεδάκρυσε καὶ τὴν δεξιὰν
and conscious having-dismounted he-wept and the right-hand
ἐνέβαλε, καὶ πολλὰ μὲν ἐλοιδόρησε τὸν Νεοπτόλεμον,
clasped and many-things indeed reviled — Neoptolemus
πολλὰ δὲ ἐκεῖνον μὲν ᾠκτίσατο τῆς τύχης, αὑτὸν
many-things and him indeed pitied for-the fortune himself
δὲ τῆς ἀνάγκης, δι' ἣν ἀνδρὶ φίλῳ καὶ συνήθει
and for-the necessity through which with-a-man friend and intimate
ταῦτα πεισόμενος ἢ δράσων συνηνέχθη.
these-things going-to-suffer or going-to-do he-had-been-brought-together

8 Ταύτην τὴν μάχην Εὐμένης ἡμέραις δέκα σχεδόν τι
this the battle Eumenes in-days ten nearly somewhat
μετὰ τὴν προτέραν ἐνίκησε· καὶ δόξῃ μὲν ἤρθη μέγας
after the former won and in-repute indeed was-lifted great

ἀπ᾽ αὐτῆς, ὡς τὰ μὲν σοφίᾳ, τὰ δὲ ἀνδρείᾳ
from it as the-things indeed by-wisdom the-things and by-courage
κατειργασμένος, φθόνον δὲ πολὺν ἔσχε καὶ μῖσος ὁμαλῶς
having-accomplished envy but much he-had and hatred alike
παρά τε τοῖς συμμάχοις καὶ τοῖς πολεμίοις, ὡς ἔπηλυς
among both the allies and the enemies as an-incomer
ἀνὴρ καὶ ξένος ὅπλοις καὶ χερσὶ τῶν Μακεδόνων τὸν
man and foreigner with-arms and hands of-the Macedonians the
πρῶτον αὐτῶν καὶ δοκιμώτατον ἀνῃρηκώς. ἀλλ᾽ εἰ
first of-them and most-esteemed having-slain but if
μὲν ἔφθη Περδίκκας πυθόμενος τὴν Κρατεροῦ
indeed had-been-beforehand Perdiccas having-learned the of-Craterus
τελευτήν, οὐκ ἂν ἄλλος ἐπρώτευσε Μακεδόνων· νυνὶ
death not — another would-have-been-first of-Macedonians as-it-was
δὲ ἀνῃρημένου Περδίκκου κατὰ στάσιν ἐν Αἰγύπτῳ δυσὶν
and having-been-slain Perdiccas in sedition in Egypt two
ἡμέραις πρότερον ἦκεν οὗτος ὁ περὶ τῆς μάχης λόγος εἰς τὸ
days before came this the about the battle report into the
στρατόπεδον, καὶ πρὸς ὀργὴν εὐθὺς οἱ Μακεδόνες θάνατον
camp and in anger at-once the Macedonians death
τοῦ Εὐμένους κατέγνωσαν. ἀπεδείχθη δὲ τοῦ πολέμου
— of-Eumenes decreed was-appointed and of-the war
τοῦ πρὸς αὐτὸν Ἀντίγονος μετὰ Ἀντιπάτρου στρατηγός.
the against him Antigonus with Antipater general
Ἐπεὶ δὲ Εὐμένης τοῖς βασιλικοῖς ἱπποφορβίοις περὶ τὴν
when and Eumenes on-the royal horse-herds about —
Ἴδην νεμομένοις ἐπιτυχὼν καὶ λαβὼν ἵππους ὅσων
Ida pasturing having-chanced and having-taken horses as-many-as
ἔχρῃζε τοῖς ἐπιμελητοῖς τὴν γραφὴν ἔπεμψε, λέγεται
he-needed to-the overseers the receipt sent it-is-said
γελάσαι τὸν Ἀντίπατρον καὶ εἰπεῖν ὅτι θαυμάζει τὸν
to-have-laughed — Antipater and to-have-said that he-admires —

Εὐμένη τῆς προνοίας, ἐλπίζοντα λόγον αὐτοῖς ἀποδώσειν
Eumenes for-the foresight expecting account to-them going-to-render
τῶν βασιλικῶν ἢ λήψεσθαι παρ᾽ αὐτῶν. περὶ δὲ τὰς
of-the royal-things or going-to-receive from them about and —
Σάρδεις ἐβούλετο μὲν ἱπποκρατῶν ὁ Εὐμένης τοῖς Λυδοῖς
Sardis wished indeed being-strong-in-horse — Eumenes on-the Lydian
ἐναγωνίσασθαι πεδίοις, ἅμα καὶ τῇ Κλεοπάτρᾳ τὴν δύναμιν
to-fight-it-out plains at-once and — to-Cleopatra the force
ἐπιδεῖξαι φιλοτιμούμενος· αὐτῆς δὲ ἐκείνης δεηθείσης
to-display being-ambitious herself and she having-begged
(ἐφοβεῖτο γὰρ αἰτίαν τινὰ λαβεῖν ὑπὸ τῶν περὶ τὸν
she-feared for blame some to-receive from those about —
Ἀντίπατρον) ἐξήλασεν εἰς τὴν ἄνω Φρυγίαν καὶ διεχείμαζεν
Antipater he-marched into the upper Phrygia and wintered
ἐν Κελαιναῖς· ὅπου τῶν μὲν περὶ τὸν Ἀλκέταν καὶ
in Celaenae where those indeed about — Alcetas and
Πολέμωνα καὶ Δόκιμον ὑπὲρ ἡγεμονίας διαφιλοτιμουμένων
Polemon and Docimus about leadership vying-in-ambition
πρὸς αὐτόν, “Τοῦτο ἦν,” ἔφη, “τὸ λεγόμενον, ‘Ὀλέθρου
with him this was he-said the-thing said of-destruction
δ᾽ οὐθεὶς λόγος.’” τοῖς δὲ στρατιώταις ὑποσχόμενος ἐν
and no account to-the and soldiers having-promised in
τρισὶν ἡμέραις τὸν μισθὸν ἀποδώσειν ἐπίπρασκεν αὐτοῖς τὰς
three days the pay to-render he-sold them the
κατὰ τὴν χώραν ἐπαύλεις καὶ τετραπυργίας σωμάτων καὶ
in the country farmsteads and castles with-slaves and
βοσκημάτων γεμούσας. ὁ δὲ πριάμενος ἡγεμὼν τάγματος ἢ
with-cattle full the and having-bought leader of-a-company or
ξεναγὸς ὄργανα καὶ μηχανὰς τοῦ Εὐμένους παρέχοντος
mercenary-captain engines and machines — Eumenes providing
ἐξεπολιόρκει· καὶ πρὸς τὸν ὀφειλόμενον μισθὸν οἱ
took-by-siege and toward the owed pay the

στρατιῶται διενέμοντο τῶν ἁλισκομένων ἕκαστον. ἐκ δὴ
soldiers distributed of-the captured each from indeed
τούτου πάλιν ὁ Εὐμένης ἠγαπᾶτο· καί ποτε γραμμάτων ἐν
this again — Eumenes was-loved and once letters in
τῷ στρατοπέδῳ φανέντων ἃ διέρριψαν οἱ τῶν πολεμίων
the camp having-appeared which scattered the of-the enemies
ἡγεμόνες, ἑκατὸν τάλαντα καὶ τιμὰς διδόντες τῷ
leaders a-hundred talents and honors giving to-the-one
κτείναντι τὸν Εὐμένη, σφόδρα παρωξύνθησαν οἱ Μακεδόνες,
having-killed — Eumenes vehemently were-provoked the Macedonians
καὶ δόγμα ποιοῦνται χιλίους τῶν ἡγεμονικῶν περὶ αὐτὸν
and a-decree make a-thousand of-the officers about him
ἀεὶ δορυφοροῦντας εἶναι καὶ φυλάττειν ἐν περιόδῳ καὶ
always being-bodyguards to-be and to-guard in rotation and
παρανυκτερεύειν. οἱ δὲ ἐπείθοντο, καὶ τιμὰς ἠγάπων παρ᾽
to-keep-watch-by-night they and obeyed and honors gladly from
αὐτοῦ λαμβάνοντες ἃς οἱ φίλοι παρὰ τῶν βασιλέων.
him receiving which the friends from the kings
ἐξῆν γὰρ Εὐμένει καὶ καυσίας ἁλουργεῖς καὶ χλαμύδας
it-was-allowed for to-Eumenes both hats purple and cloaks
διανέμειν, ἥτις ἦν δωρεὰ βασιλικωτάτη παρὰ Μακεδόσι.
to-distribute which was a-gift most-royal among Macedonians

Betrayed at Orcynii, Eumenes hangs the traitor and doubles back to burn his dead on the field, to Antigonus' wonder. He spares Antigonus' baggage, warning its guard Menander, and withdraws to the fortress of Nora with a few hundred men. Meeting Antigonus, he claims his satrapies and is mobbed by admiring Macedonians. Besieged, he keeps his men cheerful and exercises the horses by hoisting them in slings. When Antipater dies, he amends the oath Antigonus offers, swearing loyalty to Olympias and the kings, and escapes.

9 Τὸ μὲν οὖν εὐτυχεῖν καὶ τοὺς φύσει μικροὺς
the indeed then to-be-fortunate even those by-nature small
συνεπικουφίζει τοῖς φρονήμασιν, ὥστε φαίνεσθαί τι
lifts-up-with in-their spirits so-that to-appear some
μέγεθος περὶ αὐτοὺς καὶ ὄγκον ἐκ πραγμάτων ὑπερεχόντων
greatness about them and pomp from affairs superior
ἀποβλεπομένους· ὁ δὲ ἀληθῶς μεγαλόφρων καὶ βέβαιος
being-looked-at the but truly great-minded and steadfast
ἐν τοῖς σφάλμασι μᾶλλον καὶ ταῖς δυσημερίαις ἀναφέρων
in the stumbles rather and the misfortunes rallying
γίνεται κατάδηλος, ὥσπερ Εὐμένης. πρῶτον μὲν γὰρ ἐν
becomes manifest as Eumenes first indeed for in
Ὀρκυνίοις τῆς Καππαδοκίας ἡττηθεὶς ὑπὸ Ἀντιγόνου
Orcynii — of-Cappadocia having-been-defeated by Antigonus
διὰ προδοσίας καὶ διωκόμενος οὐ παρῆκε τὸν προδότην
through treachery and being-pursued not he-let the traitor
ἐκ τῆς φυγῆς διαπεσεῖν πρὸς τοὺς πολεμίους, ἀλλὰ
from the flight to-slip-through to the enemies but
συλλαβὼν ἐκρέμασε. φεύγων δὲ τὴν ἐναντίαν ὁδὸν τοῖς
having-seized-him he-hanged-him fleeing and the opposite road to-the
διώκουσι μετέβαλε λαθών, καὶ παραλλάξας, ὡς
pursuers he-changed having-escaped-notice and having-slipped-past when

ἦλθεν ἐπὶ τὸν τόπον οὗ τὴν μάχην συνέβη γενέσθαι,
he-came to the place where the battle happened to-take-place
κατεστρατοπέδευσε, καὶ συναγαγὼν τοὺς νεκροὺς καὶ τῶν
he-encamped and having-gathered the dead and of-the
